I. 1. σκεπτέον ἐστὶν ὅπως ἀσφαλέστατα μενοῦμεν. 2. μὴ[1] τοῦτο ποιῶμεν; 3. βούλει οὖν ἐπισκοπῶμεν; 4. οὐ μή σε κρύψω πρὸς ὅντινα βούλομαι ἀφικέσθαι.[2] 5. πολλὰ γὰρ ἑνορῶ[3] δι' ἃ ἐμοὶ τοῦτο οὐ ποιητέον. 6. ἢν γὰρ ἅπαξ δύο[4] ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπόσχωμεν, οὐκέτι μὴ δύνηται βασιλεὺς ἡμᾶς καταλαβεῖν. 7. ἱκανὸς δὲ καί ἐστιν ἐμποιῆσαι τοῖς παροῦσιν[5] ὡς πειστέον ἐστὶ Κλεάρχῳ.[6] 8. μηδ' ἔρωμαι ὁπόσου πωλεῖ; 9. οὐ πρὸ τῆς ἀληθείας τιμητέος ἀνήρ. 10. ἀλλ' ὅπως μὴ ἐπ'

ἐκείνῳ γενησόμεθα πάντα ποιητέον.[7] 11. μισθωσώμεθα οὖν κήρυκα, ἢ αὐτὸς ἀνείπω; 12. καταβατέον οὖν ἐν μέρει ἕκαστον.[8] 13. εἴπω οὖν σοι τὸ αἴτιον; 14. ἐπιθυμητέον ἐστὶ τοῖς ἀνθρώποις τῆς ἀρετῆς. 15. εὖ ἴσθι ὅτι οὐ μή σοι ξυγχωρήσω. 16. ποῖ φύγωμεν; 17. μιμητέον ἐστὶν ἡμῖν τοὺς ἀγαθούς. 18. πότερον[9] τοῦτο βίαν φῶμεν ἢ μὴ φῶμεν εἶναι;

II. 1. The general must pursue the enemy. 2. What shall I say? 3. They will *not* await the enemy. 4. We must make war on the barbarians.[10] 5. For you will *never* make the vicious better. 6. We must not be dispirited. 7. Will you receive[11] him, or shall we go away? 8. They will *not* be able to go up on the mountain. 9. We must not surrender these soldiers to the king. 10. We must make every effort[12] never to get in the power of the barbarians. 11. With what[13] shall I begin? 12. You must cultivate virtue. 13. Shall I proceed with[14] the army into the city? 14. Fellow-soldiers, we must make our journey on foot. 15. And may I not[15] answer, if some young (man) questions me? 16. The general must provide chariots and march against the enemy. 17. We must never do the state harm, but obey (her).

NOTES.

[1] § 282, 2, at the end of the examples.

[2] The indirect question (§ 149, 2, second paragraph) is the second object of **κρύψω**, § 164.

[3] *See in* (*this undertaking*).
[4] Here indeclinable.
[5] **πάρειμι,** § 127, I., N. 1.
[6] See note 9, Lesson XXXIV.
[7] *We must make every effort*, etc., § 217.
[8] Accusative of the agent.
[9] § 282, 5.
[10] § 186, N. 1.
[11] Future indicative.
[12] Use the personal construction.
[13] *With what*, i.e. *whence*.
[14] **ἔχων.**
[15] *And not*, **μηδέ.** See also note 1, above.

LESSON LXX.

Conditional Sentences: Present and Past Conditions.

GRAMMAR: § 219 entire; § 220, through I. *a*, 2; §§ 221, 222.

Exercises.

I. 1. εἰ ὑμεῖς ἐθέλετε ἐξορμᾶν, ἕπεσθαι ὑμῖν βούλομαι. 2. εἰ ταῦτα ἐπεπράχει, καλῶς ἂν ἔσχεν. 3. καὶ ἡμῖν γ' ἂν οἶδ' ὅτι τρισάσμενος[1] ταῦτ' ἐποίει, εἰ ἑώρα ἡμᾶς μένειν παρασκευαζομένους. 4. εἴπερ ἐμὸς ἀδελφός ἐστι, οὐκ ἀμαχεὶ ταῦτ' ἐγὼ λήψομαι. 5. εἰ ἑώρων ἀποροῦντας ὑμᾶς, τοῦτ' ἂν ἐσκόπουν. 6. ἀλλά, εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι, ἐγὼ δ' ἐθέλω πορεύεσθαι· εἰ δὲ χρῄζεις, πορεύου ἐπὶ τὸ ὄρος, ἐγὼ δὲ μενῶ αὐτοῦ. 7. καὶ ἂν ταῦτ' ἐποίει, εἰ ἑώρα ἡμᾶς. 8. ἀλλ' εἰ βούλεσθε συναπιέναι, ἥκειν κελεύει ὑμᾶς τῆς νυκτός. 9. εἰ γὰρ ἐβρόντησε, καὶ ἤστραψεν. 10. εἰ δέ τι ἄλλο βέλτιον,[2] τολμάτω καὶ ὁ ἰδιώτης διδάσκειν. 11. εἰ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγή, ἕρμαιον ἂν ἦν τοῖς κακοῖς. 12. εἰ μέντοι τότε πλείους συνελέγησαν, ἐκινδύνευσεν ἂν

διαφθαρῆναι πολὺ τοῦ στρατεύματος. 13. εἰ τοῦτο πεποίηκας, ἐπαινεῖσθαι ἄξιος εἶ. 14. οὐκ ἂν τῶν νήσων ἐκράτει, εἰ μή τι ναυτικὸν εἶχε. 15. ἡ πόλις πᾶσα διεφθάρη ἄν, εἰ ἄνεμος ἐπεγένετο. 16. εὖ ἴσθ' ὅτι εἴ τι[3] ἐμοῦ ἐκήδου, ἀξιώματος[4] καὶ τιμῆς μὴ[5] ἀποστερεῖν με ἐφυλάττου ἄν.

II. 1. But if any one sees a better (plan), let him speak. 2. If he had restrained himself, he would now be king. 3. And if you had not come, we should have proceeded against the king. 4. If you have the money, pay it to the soldiers. 5. If he (is) a god, he is wise. 6. If the general had wished to go, the soldiers would have followed (him). 7. If he went into the city, he received the gold. 8. He would not have done this, if I had not bid him. 9. If you say this, you are deceived. 10. If he wrote the letter, he did well. 11. If he had done this, he would have injured me greatly.[6] 12. If this is so, I will go away at once. 13. If the citizens had been wise, they would then have put this tyrant to death. 14. If you have not done wrong, why are you about to flee? 15. It would be much more wonderful, if they were honored.

NOTES.

[1] § 138, N. 7.
[2] *Better* (*plan*). Sc. ἐστί.
[3] § 160, 2.
[4] § 164, N. 2.
[5] Not to be translated, § 283, 6.
[6] § 159, N. 2, and N. 4.

LESSON LXXI.

Conditional Sentences: Future Conditions.

GRAMMAR: § 220, I. *b*, 1 and 2; §§ 223, 224; § 207, 1 and 2.

Exercises.

I. 1. κἂν μὲν ᾖ ἐκεῖ, τὴν δίκην ἐπιθήσομεν αὐτῷ, ἢν δὲ φύγῃ, ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. 2. εἰ οὖν ὁρῴην ὑμᾶς σωτήριόν τι βουλευομένους, ἔλθοιμι ἂν πρὸς ὑμᾶς. 3. οὔτω[1] γὰρ ἂν ὑμεῖς ἀπολελυμένοι τῆς αἰτίας εἴητε.[2] 4. ἐγὼ θέλω, ὦ ἄνδρες, διαβιβάσαι ὑμᾶς, ἂν ἐμοὶ ὦν δέομαι ὑπηρετήσητε καὶ τάλαντον μισθὸν πορίσητε. 5. νῦν ἄν, εἰ βούλοιο, σύ τε ἡμᾶς ὀνήσαις καὶ ἡμεῖς σὲ μέγαν ποιήσαιμεν. 6. καίτοι εἰ ἅμα τ᾽ ἐλεύθερος εἴης καὶ πλούσιος γένοιο, τίνος ἂν δέοιο; 7. ἢν δέ τις ἡμᾶς τῆς ὁδοῦ ἀποκωλύῃ, διαπολεμήσομεν τούτῳ. 8. εἰ δὲ ἆθλα προτιθείη τις, πολὺ ἂν πλείους διὰ τοῦτο ἐμπορεύοιντο. 9. οὐδ᾽ εἰ πάντες ἔλθοιεν Πέρσαι, πλήθει γε οὐχ[3] ὑπερβαλοίμεθ᾽ ἂν τοὺς πολεμίους. 10. ἂν δέ τις ἀνθιστῆται, σὺν ὑμῖν πειρασόμεθα χειροῦσθαι. 11. οὐδὲ γὰρ ἄν με ὁ βασιλεὺς ἐπαινοίη, εἰ ἐξελαύνοιμι τοὺς εὐεργέτας. 12. ἢν οὖν σωφρονῆτε, τοῦτον τἀναντία ποιήσετε ἢ τοὺς κύνας ποιοῦσι· τοὺς μὲν γὰρ κύνας τοὺς χαλεποὺς τὰς μὲν ἡμέρας διδέασι, τὰς δὲ νύκτας ἀφιᾶσι, τοῦτον δέ, ἢν σωφρονῆτε, τὴν νύκτα μὲν δήσετε, τὴν δὲ ἡμέραν ἀφήσετε.

II. 1. For if we take this height, those (who are) above[4] the road will not be able to remain. 2. He would gladly give them guides, if they should wish to go away. 3. For if they see you dispirited, they will all be cowardly. 4. What shall we suffer, if we yield and get in the power of the king? 5. If they should receive pledges, they would come. 6. If the king shall fight within ten days, I will give you ten talents. 7. For if we should besiege this city, we should take it. 8. And we shall not be able to pass by, unless we cut off the enemy. 9. If the horsemen arrive before the battle, we shall be victorious. 10. If[5] I should escape the notice of these (men), I should be saved; but if I should be taken, I should suffer death. 11. If therefore we make the peace, we shall dwell in the city in[6] great safety. 12. If[5] therefore we should have arms, we should make use also of our valor; but if we should surrender these, we should lose our lives[7] also.

NOTES.

[1] *In this way*, representing the protasis. See § 226, 1, with the last example.

[2] *Would be freed from*, perfect optative passive, § 118, 1. See also § 202, 2.

[3] *Not even if all*, etc., *not even then*, etc.

[4] **οἱ ὑπὲρ τῆς ὁδοῦ,** § 141, N. 3, second paragraph.

[5] See note 10, Lesson XIX.

[6] **μετά** with the genitive.

[7] *Lose our lives*, lit. *be robbed of our bodies.*

LESSON LXXII.

Conditional Sentences: Present and Past General Suppositions.—Expression of a Wish.—Gnomic and Iterative Tenses.

GRAMMAR: § 220, II.; § 225; § 251, 1 and 2; §§ 205, 1 and 2, and 206.

Exercises.

I. 1. οἱ θεοὶ ἱκανοί εἰσι τοὺς μικρούς, κἂν ἐν δεινοῖς ὦσι, σώζειν εὐπετῶς. 2. τούτου ἕνεκα μήτε πολεμεῖτε Λακεδαιμονίοις, σώζοισθέ τε[1] ἀσφαλῶς ὅποι θέλει ἕκαστος. 3. ἦν ἐπικούρημα τῶν ποδῶν, εἴ τις τὴν νύκτα ὑπολύοιτο. 4. ἤν τι[2] περὶ ἡμᾶς ἁμαρτάνωσι, περὶ τὰς ἑαυτῶν ψυχὰς ἁμαρτάνουσι. 5. ἡμεῖς γὰρ ἂν τοιαῦτα πάθοιμεν,[3] οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν.[4] 6. καὶ εἴ τις αὐτῷ δοκοίη τῶν πρὸς τοῦτο τεταγμένων βλακεύειν, ἐκλεγόμενος τὸν ἐπιτήδειον ἔπαισεν ἄν.[5] 7. τὰς δὲ ὠτίδας, ἄν τις ταχὺ ἀνιστῇ, ἔστι λαμβάνειν. 8. εἰ δέ τινα ὁρῴη δεινὸν ὄντα οἰκονόμον, οὐδένα ἂν πώποτε ἀφείλετο.[5] 9. διατελεῖ μισῶν,[6] οὐκ ἤν τίς τι[7] αὐτὸν ἀδικῇ, ἀλλ' ἐάν τινα ὑποπτεύσῃ βελτίονα ἑαυτοῦ εἶναι. 10. εἰ δή ποτε πορεύοιτο, προσκαλῶν τοὺς φίλους ἐσπουδαιολογεῖτο. 11. εἴ τινες ἴδοιέν πῃ τοὺς σφετέρους ἐπικρατοῦντας, ἀνεθάρσησαν ἄν.[5] 12. τῇ βίᾳ πρόσεισιν ἔχθραι καὶ κίνδυνοι. 13. τὰς τῶν φαύλων συνουσίας ὀλίγος χρόνος διέλυσεν. 14. ἀναλαμβάνων αὐτῶν τὰ ποιήματα διηρώτων ἄν. 15. εἰ ἐξε-

λαύνοι Ἀστυάγης, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγε τὸν Κῦρον. 16. εἴθε σοι, ὦ Περίκλεις, τότε συνεγενόμην.

II. 1. But may the gods take vengeance on these traitors. 2. If any one ever stole, he was punished. 3. Beware of slanders,[8] even if they are false. 4. O that you may prove yourselves[9] brave! 5. If they found anything (upon them), they took it away from them. 6. But it was a protection, if one journeyed with something black before his eyes. 7. O that I had not fought with the king! 8. Virtue is praiseworthy.[10] 9. If we ever attacked the enemy, they escaped with ease. 10. If the soldiers march in good order, he praises them. 11. If any one perjures himself, they impose[11] a penalty on him. 12. He used to beat[5] his soldiers. 13. If he suspected that any one was plotting against him, he put him to death.

NOTES.

[1] An imperative followed by an optative in a wish, the two being correlated by **μήτε . . . τέ**, *both . . . not, . . . and.*
[2] § 159, N. 2.
[3] § 226, 2 *b*.
[4] A wish.
[5] Iterative.
[6] § 279, 1.
[7] § 159, N. 4.
[8] Use the article.
[9] *Prove yourselves*, — use the aorist of **γίγνομαι.**
[10] § 138, N. 2 *c*.
[11] § 205, 2.

LESSON LXXIII.

Relative and Temporal Sentences: Conditional Relative.

GRAMMAR: §§ 229–233. Add § 231, N.

Exercises.

I. 1. ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. 2. τὸ δὲ λοιπὸν πειρώμενοι ταύτης τῆς τάξεως, βουλευσόμεθα ὅ τι ἂν ἀεὶ κράτιστον δοκῇ εἶναι. 3. ἐγὼ γὰρ ὀκνοίην ἂν εἰς τὰ πλοῖα ἐμβαίνειν ἃ ἡμῖν δοίη. 4. τῷ δὲ ἡγεμόνι πιστεύσομεν ὃν ἂν Κῦρος διδῷ. 5. καὶ οἱ ὄνοι, ἐπεί τις διώκοι, προδραμόντες ἔστασαν. 6. τοὺς πλείστους ἔνθαπερ ἔπεσον ἑκάστους ἔθαψαν· οὓς δὲ μὴ εὕρισκον, κενοτάφιον αὐτοῖς ἐποίησαν. 7. τῷ θεῷ τούτῳ θύσομεν σωτήρια ὅπου ἂν πρῶτον εἰς φιλίαν χώραν ἀφικώμεθα. 8. διαπορευσόμεθα τὴν χώραν ὡς ἂν δυνώμεθα ἀσινέστατα. 9. οἱ δ' ἐπεὶ τὰ ἅρματα προΐδοιεν, διίσταντο. 10. ὅτῳ οὖν ταῦτα δοκεῖ καλῶς ἔχειν, ἐπικυρωσάτω ὡς τάχιστα, ἵν' ἔργῳ περαίνηται. 11. καὶ σὺν ὑμῖν ὅ τι ἂν δέῃ πείσομαι. 12. ὅπου στρατηγὸς σῶος εἴη, τὸν στρατηγὸν παρεκάλουν. 13. οἱ δὲ ἄνδρες εἰσὶν οἱ ποιοῦντες ὅ τι ἂν ἐν ταῖς μάχαις γίγνηται. 14. εἰς τὰ πλοῖα τούς τε ἀσθενοῦντας ἐνεβίβασαν καὶ τῶν σκευῶν ὅσα μὴ ἀνάγκη ἦν ἔχειν. 15. ὃς ἂν ταῦτα μηνύσῃ, λήψεται τάλαντον. 16. ἔπεμπε γὰρ βίκους οἴνου, ὁπότε πάνυ ἡδὺν λάβοι. 17. ἡμεῖς δὲ

πολὺ μὲν ἰσχυρότερον παίσομεν, ἤν τις προσίῃ, πολὺ δὲ μᾶλλον ὅτου ἂν βουλώμεθα τευξόμεθα.

II. 1. But we must suffer whatever seems best to the gods. 2. And I should fear to follow the guide whom he might give us. 3. But if any one hinder us from our journey, we shall fight it out with him[1] as bravely as possible.[2] 4. He (is) a worthy friend, to whomsoever he is a friend. 5. But I grant you, said he, whichever you wish to choose. 6. And in company with you I shall be in honor wherever I shall be. 7. He hunted on horseback, whenever he wished to exercise himself. 8. Whenever any one wishes to go away, he permits him.[3] 9. And whenever it was necessary[4] to cross a bridge, each[5] company hastened. 10. He would not have done what he had not agreed to do. 11. And again, when the horses approached, they did the same (thing). 12. (Those) who[6] were not able to escape perished. 13. As many arrows as[7] were taken were useful to the archers. 14. Whenever it shall be (the) proper time, I will come.

NOTES.

[1] Use **οὗτος.** For the case, see § 186, N. 1.

[2] Literally, *most bravely* (**κράτιστα**) *as we shall be able*, putting the adverb last.

[3] **αὐτούς,** because the indefinite **τὶς,** though singular, covers the entire class.

[4] § 98, N. 1. Use **δεῖ.** [5] § 142, 4, N. 2. [6] **ὅσοι.**

[7] (*So many*) *of the arrows as*, § 87, 1, but put the genitive in the relative clause.

LESSON LXXIV.

Relative and Temporal Sentences: Relative Clauses expressing Purpose, Result, or Cause, and Temporal Particles signifying *Until* and *Before that.*

GRAMMAR: §§ 236–240.

Exercises.

I. 1. οἱ γὰρ πολέμιοι οὐ πρότερον πρὸς ἡμᾶς τὸν πόλεμον ἐξέφηναν πρὶν ἐνόμισαν καλῶς τὰ ἑαυτῶν παρεσκευάσθαι. 2. καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ ταῦτα· ὥστε βασιλεὺς τὴν πρὸς ἑαυτὸν ἐπιβουλὴν οὐκ ᾐσθάνετο. 3. οὐδαμόθεν ἀφίεσαν· πρὶν παραθεῖεν ἄριστον. 4. ἅπασιν ἔσονται σπονδαί, μέχρι ἂν βασιλεῖ τὰ παρ' ὑμῶν διαγγελθῇ. 5. ἐὰν δὲ μὴ διδῷ ταῦτα, ἡγεμόνα αἰτήσομεν Κῦρον, ὅστις διὰ φιλίας τῆς χώρας ἀπάξει. 6. ἕως οἱ πλεῖστοι γνώμην ἀπεφήναντο, ἡσυχίαν ἂν ἦγον. 7. καὶ ἐὰν ἐγὼ φαίνωμαι ἀδικεῖν, οὐ χρή με ἐνθένδε ἀπελθεῖν πρὶν ἂν δῶ δίκην. 8. καὶ γίγνεται τοσοῦτον μεταξὺ τῶν στρατευμάτων ὥστε τῇ ὑστεραίᾳ οὐκ ἐφάνησαν οἱ πολέμιοι. 9. ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέσθαι οἳ νόμους ξυγγράψουσι. 10. ἀλλὰ διατρίψω ἔστ' ἂν ὀκνήσωσιν οἱ ἄγγελοι μὴ ἀποδόξῃ ἡμῖν τὰς σπονδὰς ποιήσασθαι. 11. ἄτοπα λέγεις καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε κελεύεις ἐμὲ καθηγεῖσθαι. 12. ἀνδρὶ ἑκάστῳ δώσει πέντε ἀργυρίου μνᾶς ἐπὴν εἰς Βαβυλῶνα ἥκωσι, καὶ τὸν μισθὸν ἐντελῆ μέχρι ἂν καταστήσῃ τοὺς Ἕλληνας εἰς Ἰωνίαν πάλιν. 13. πά-

λιν δὲ ὁπότε ἀπίοιεν πρὸς τὸ ἄλλο στράτευμα ταὐτὰ ἔπασχον, καὶ ἐπὶ τοῦ δευτέρου γηλόφου ταὐτὰ ἐγίγνετο, ὥστε ἀπὸ τοῦ τρίτου γηλόφου ἔδοξεν αὐτοῖς μὴ κινεῖν τοὺς στρατιώτας πρὶν ἀπὸ τῆς δεξιᾶς πλευρᾶς τοῦ πλαισίου ἀνήγαγον πελταστὰς πρὸς τὸ ὄρος.

II. 1. They waited until the men left the city. 2. They are getting arms together with which to defend themselves. 3. Let the truce be in force until I come. 4. He had not come; so that the Greeks were anxious. 5. I should continue to war[1] (with them) until they should surrender the ships. 6. They command the heralds to wait until the general shall be at leisure. 7. But the rest of the soldiers struck[2] and stoned and reviled the man until they compelled (him) to take[3] his shield and proceed. 8. Generals have come to collect an army for Cyrus. 9. We waited each time until the king rode by. 10. He will not stop fighting against his opponents until he has consulted with you. 11. You are happy, since you have ancestral gods. 12. They never make the attack until the watchword has passed along.[4] 13. I shall delay in Sardis until the general arrives. 14. If I had known this, I should have waited until the general had arrived. 15. We will go forward until we join Cyrus.

NOTES.

[1] § 279, 1
[2] § 200, N. 1.
[3] Use the participle.
[4] Use the aorist subjunctive.

LESSON LXXV.

Indirect Discourse: Simple Sentences after ὅτι and ὡς and in Indirect Questions.

GRAMMAR: § 241; §§ 243–245.

Exercises.

I.[1] 1. ἐπεδείκνυσαν οἷα[2] εἴη ἡ ἀπορία ἄνευ τῆς Κύρου γνώμης καὶ μένειν καὶ ἀπιέναι. 2. καὶ οὔποτε ἐρεῖ οὐδεὶς ὡς ἐγὼ προδοὺς ὑμᾶς τὴν τῶν βαρβάρων φιλίαν εἱλόμην. 3. ἔγνω ὅτι οὐ δυνήσεται τοὺς στρατιώτας βιάσασθαι ἰέναι. 4. καὶ μάλα ἠθύμησάν τινες, ἐννοούμενοι μὴ τὰ ἐπιτήδεια[3] οὐκ ἔχοιεν ὁπόθεν λαμβάνοιεν. 5. ἀλλὰ οἱ πολέμιοι ἐθεῶντο ὅποι ποτὲ τρέψονται οἱ Ἕλληνες καὶ τί ἐν νῷ ἔχοιεν. 6. ἔλεξεν ὡς γείτων τε εἴη τῆς Ἑλλάδος καὶ περὶ πλείστου ἂν ποιήσαιτο σῶσαι ἡμᾶς. 7. ἀκούσας δὲ Ξενοφῶν ἔλεγεν ὅτι ὀρθῶς ᾐτιῶντο καὶ αὐτὸ τὸ ἔργον αὐτοῖς μαρτυροίη. 8. ἔνθα δὴ οἱ Ἕλληνες ἔγνωσαν ὅτι πλαίσιον ἰσόπλευρον πονηρὰ τάξις εἴη. 9. ὁ δὲ λέγει ὅτι οὐκ ἐδόκει αὐτῷ ἔρημα καταλιπεῖν τὰ ὄπισθεν. 10. ἔλεξεν ὅτι οὕτω σωτηρίας ἂν τύχοιεν. 11. οὗτοι ἔλεγον ὅτι Κῦρος μὲν τέθνηκεν, Ἀριαῖος δὲ πεφευγὼς ἐν τῷ σταθμῷ εἴη καὶ λέγοι ὅτι περιμείνειεν ἂν αὐτούς. 12. ἀποκρίνεται ὅτι ταῦτ' ἂν ἐποίησεν ἡμᾶς ἰδών.[4] 13. ἔλεγον ὅτι οὐπώποθ' οὗτος ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ. 14. ἐβουλεύοντο εἰ[5] τὰ σκευοφόρα ἐνταῦθα ἄγοιντο ἢ ἀπίοιεν

ἐπὶ τὸ στρατόπεδον. 15. ἠρώτων εἰ δοῖεν ἂν τούτων τὰ πιστά.

II.[6] 1. And Cyrus said that the expedition would be against the great king. 2. But he answered that he had deliberated with respect to this. 3. For they now knew that he was leading (them) against his brother. 4. And he shouted that the king was coming on with a great army. 5. For the satrap said that Cyrus had plotted against the king. 6. But they deliberated how[7] they should drive the men away from the hill. 7. He asked whither[2] he should turn. 8. They knew that their fear was groundless. 9. He said that he would arrest him and put (him) to death. 10. But he did not indicate what he would do. 11. But he was deliberating whether[8] they should send some, or should all go to the camp. 12. And (on) being asked what[2] he needed, he said, "I shall need two thousand leathern bags." 13. They were at a loss what[2] they should call this. 14. For they perceived that the enemy were among the baggage.[9] 15. I said that we had[10] many fair[11] hopes of safety. 16. Thereupon he accordingly answered that they would[12] die sooner than give up their arms.

NOTES.

[1] In each case let the student give the verb of the quoted sentence in its original form before quotation, and also all of its possible forms after being quoted.

[2] An indirect question may be introduced by the simple interrogative

(in this case **ποία**), the general relative (**ὁποία**), or even, as here, the simple relative (**οἵα**). See § 149, 2, with note, § 282, 1, and § 87, 1. For the syntax of **μένειν,** see § 261, 1.

[3] Object of **λαμβάνοιεν.** The original question was, **πόθεν τὰ ἐπιτήδεια λαμβάνωμεν;** See § 256.

[4] § 277, 4. [5] § 282, 4.

[6] In translating these sentences into Greek, determine first what the quoted sentence would be in the direct form in English, *so as to get the original tense*, which in Greek, it must be carefully remembered, *does not change* when the sentence is indirectly quoted. In *English* after secondary tenses a change of tense is the rule. This makes it often doubtful what the original form of the sentence was. In such a case the student must determine which seems the most natural, and take that.

[7] **πῶς.** But see note 2, above.

[8] *Whether . . . or*, **εἰ . . . ἤ,** § 282, 5.

[9] Plural of **σκευοφόρον.**

[10] § 184, 4.

[11] Greek idiom, *many and fair.*

[12] The original affirmation was, *we should die*, etc.

LESSON LXXVI.

Indirect Discourse: Infinitive and Participle in Indirect Quotations.

GRAMMAR: § 246, with N.; § 260, with 2 (and N. 1) § 280, with notes 1 and 2.

Exercises.

I.[1] 1. ἄνδρες, νῦν ἐπὶ τὴν Ἑλλάδα νομίζετε ἁμιλλᾶσθαι. 2. οἶμαι γὰρ ἂν ἡμᾶς τοιαῦτα παθεῖν οἷα τοὺς ἐχθροὺς οἱ θεοὶ ποιήσειαν.[2] 3. μέμνημαι αὐτὸν τοῦτο ποιήσαντα. 4. Κῦρος δ' ἐπεὶ ᾔσθετο τοὺς στρατιώτας διαβεβηκότας, ᾔσθη. 5. σύνοιδα γὰρ

ἐμαυτῷ πάντα ἐψευσμένος αὐτόν. 6. ὑπισχνεῖται αὐτοῖς μὴ πρόσθεν παύσεσθαι πρὶν ἂν αὐτοὺς καταγάγῃ οἴκαδε. 7. δῆλος ἦν Κῦρος σπεύδων πᾶσαν τὴν ὁδόν. 8. ἀκούω δ' εἶναι[3] ἐν τῷ στρατεύματι ἡμῶν Ῥοδίους, ὧν τοὺς πολλούς φασιν ἐπίστασθαι[4] σφενδονᾶν. 9. ἐπειδὴ δὲ σαφῶς τοὺς βαρβάρους ἀπίοντας ἤδη ἑώρων οἱ Ἕλληνες, ἐπορεύοντο καὶ αὐτοί. 10. ἀναρχίᾳ δ' ἂν καὶ ἀταξίᾳ ἐνόμιζον ἡμᾶς ἀπολέσθαι. 11. ὡς εἶδε Κλέαρχον διελαύνοντα, ἵησι τῇ ἀξίνῃ.[5] 12. δείξω τοῦτον ἐχθρὸν ὄντα. 13. ἄλλως δέ πως πορίζεσθαι τὰ ἐπιτήδεια ὅρκους κατέχοντας ἡμᾶς ᾔδειν. 14. σκοπούμενος οὖν εὕρισκον οὐδαμῶς ἂν ἄλλως τοῦτο διαπραξάμενος. 15. ἑώρα δὲ προκατειλημμένην τὴν ἀκρωνυχίαν. 16. εἰ οὖν ὁρῴην ὑμᾶς σωτήριόν τι βουλευομένους, ἔλθοιμι ἂν πρὸς ὑμᾶς. 17. ἐπιβουλεύων ἡμῖν φανερός ἐστι. 18. ὑπώπτευον γὰρ ἐπὶ βασιλέα ἰέναι· μισθωθῆναι δὲ οὐκ ἐπὶ τούτῳ ἔφασαν. 19. τούτους δὲ ἔφασαν οἰκεῖν ἀνὰ τὰ ὄρη καὶ πολεμικοὺς εἶναι, καὶ βασιλέως οὐκ[6] ἀκούειν, ἀλλὰ καὶ ἐμβαλεῖν ποτε εἰς αὐτοὺς βασιλικὴν στρατιάν· τούτων δ' οὐδένα ἀπονοστῆσαι.

II. 1. For he heard[7] that Cyrus was in Cilicia. 2. And he promised that he would deliver over the Greeks to him. 3. He thinks that he has been wronged by me. 4. And it was evident that he was troubled. 5. The wife of the king is said to have taken refuge there. 6. For I know that pledges

have been given. 7. For I knew that the soldiers had provisions. 8. Remember that you are mortal. 9. And the great king dug[8] this trench when he learned that Cyrus was marching against (him). 10. I was the first to announce[9] to him that Cyrus was making an expedition against (him). 11. I saw that you were suffering harm[10] and were not[6] able to retaliate. 12. For they did not know that he was dead. 13. They therefore announce that in that case the Greeks would retreat. 14. And the Greeks knew the enemy wished to go away, and that (they) were passing the word to one another. 15. They acknowledge that this general was a brave (man). 16. Let it not yet be manifest that we have set out for home. 17. He accordingly showed that the satrap had broken the truce. 18. He is conscious to himself that he has violated his oath.[11]

NOTES.

[1] See note 1, Lesson LXXV.

[2] § 251, 1.

[3] § 280, N. 3.

[4] With the infinitive = *know how*, like **οἶδα,** § 280, N.

[5] § 188, 1.

[6] § 283, 3, and § 242, 4.

[7] Be careful to use the participle in translating this exercise into Greek wherever the principal verb is one of the list mentioned in § 280. See also note 6, Lesson LXXV.

[8] *Made.*

[9] *I first* (§ 138, N. 7) *announced.*

[10] See note 10, Lesson XIX.

[11] Use the plural. For the case (if **παραμελέω** is used for the verb *to violate*), see § 171, 2.

LESSON LXXVII.

Indirect Discourse: Indirect Quotation of Compound Sentences.

GRAMMAR: § 247. Add the General Rules for Indirect Quotations and Questions in § 242.

Exercises.

I.[1] 1. καὶ οὐκ ἔφασαν ἰέναι,[2] ἐὰν μή τις αὐτοῖς χρήματα διδῷ. 2. οὗτος δ' εἶπεν ὅτι φλυαροίη ὅστις λέγοι ἄλλως πως σωτηρίας ἂν τυχεῖν ἢ βασιλέα πείσας. 3. καὶ εὔξαντο τῇ Ἀρτέμιδι, ὁπόσους κατακάνοιεν τῶν πολεμίων, τοσαύτας χιμαίρας καταθύσειν τῇ θεῷ. 4. ἐνόμιζε γάρ, ὅσῳ θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευοτέρῳ βασιλεῖ μαχεῖσθαι. 5. ὑπέσχετο, ἂν τούτους τοὺς στρατιώτας λάβῃ, παραδώσειν αὐτῷ τοὺς Ἕλληνας. 6. οἱ δ' ἑαλωκότες ἔλεγον ὅτι τὰ πρὸς μεσημβρίαν[3] τῆς[4] ἐπὶ Βαβυλῶνα εἴη, δι' ἧσπερ ἥκοιεν. 7. τοῦτο δὴ δεῖ λέγειν, πῶς ἂν πορευοίμεθά τε ὡς ἀσφαλέστατα καί, εἰ μάχεσθαι δέοι,[5] ὡς κράτιστα μαχοίμεθα.[6] 8. οἱ δ' ἔλεγον ὅτι περὶ σπονδῶν ἥκοιεν, ἄνδρες οἵτινες ἱκανοὶ ἔσονται τὰ παρὰ τῶν Ἑλλήνων βασιλεῖ ἀπαγγεῖλαι. 9. οἶδα αὐτοὺς τοῦτο ἂν ποιοῦντας,[7] εἰ ἐξῆν. 10. οὐδ' ἐρεῖ οὐδεὶς ὡς ἐγώ ἕως μὲν ἂν παρῇ τις χρῶμαι, ἐπειδὰν δὲ ἀπιέναι βούληται, συλλαβὼν καὶ[8] αὐτοὺς κακῶς ποιῶ καὶ[8] τὰ χρήματα ἀποσυλῶ. ἀλλὰ ἰόντων, εἰδότες ὅτι κακίους εἰσὶ[9] περὶ ἡμᾶς ἢ ἡμεῖς περὶ ἐκείνους. 11. εὔξαντο σωτήρια θύσειν,

ὅπου πρῶτον εἰς φιλίαν γῆν ἀφίκοιντο. 12. ἔλεγον ὅτι ἥκοιεν ἡγεμόνας ἔχοντες, οἳ αὐτούς, ἐὰν σπονδαὶ γένωνται, ἄξουσιν ἔνθεν ἕξουσι τὰ ἐπιτήδεια.

II.[10] 1. And he promised him, if he should come, that he would make him a friend to Cyrus. 2. He said that, if there was no objection,[11] he wished to converse with them. 3. He said that if they should see you dispirited, they would all be cowardly. 4. And he told (him) that just as soon as[12] the expedition should come to an end, he would immediately send him home. 5. He announced that if we had not come, they would be proceeding against the king. 6. He said that he should delay until the king arrived. 7. But he said that he did not commend the man if he had done this. 8. And they said that the enemy were within in great numbers,[13] and that they[14] were striking our men. 9. And they said that they would burst open the gates, if they did not open (them) of their own accord. 10. It was evident that they would elect him, if any one should put it to vote. 11. But he said he should dread to embark in the boats which Cyrus should give them. 12. He accordingly then asked who[15] those were who (always) did[16] whatever took place in battle.[17]

NOTES.

[1] See note 1, Lesson LXXV. In this Lesson observe the directions there given with particular care in case of the verb of the subordinate clause.

[2] They said **οὐκ ἴμεν,** § 200, N. 3 *b*.
[3] *The country toward the south*, etc.
[4] Sc. **ὁδοῦ,** and see § 169, 1.
[5] § 247, N. 3.
[6] § 212, 4.
[7] In the direct discourse **τοῦτο ἂν ἐποίουν,** § 204, N. 1.
[8] **καὶ . . . καί.** Indignity to their persons (**αὐτούς**) is added to the robbery of their property. On **αὐτούς,** see note 3, Lesson LXXIII.
[9] § 280, N. 3.
[10] See note 6, Lesson LXXV.
[11] *If not anything hindered.*
[12] *Just as soon as,* **ἐπειδὰν τάχιστα.**
[13] § 142, 3.
[14] *And that they*, i. e. *who.*
[15] See note 2, Lesson LXXV.
[16] *Those who did*, § 276, 2.
[17] *In battle.* Use the plural with the article.

LESSON LXXVIII.

Final and Object Clauses.

GRAMMAR: §§ 215–218 (with § 215, Remark, and N. 1).

Exercises.

I. 1. τῷ δὲ ἀνδρὶ ὃν ἂν ἕλησθε πείσομαι, ἵνα εἰδῆτε ὅτι καὶ ἄρχεσθαι ἐπίσταμαι. 2. εἴ τε ἤδη δοκεῖ ἀπιέναι, σκεπτέον ἐστὶν ὅπως ἀσφαλέστατα ἄπιμεν,[1] καὶ ὅπως τὰ ἐπιτήδεια ἕξομεν. 3. τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος,[2] ὅπως ὅτι[3] ἀπαρασκευότατον λάβοι βασιλέα. 4. ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσετε, ἐμοὶ μελήσει.[4] 5. καὶ περὶ τούτων ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. 6. ὥστε οὐ τοῦτο δέδοικα, μὴ οὐκ ἔχω[5] ὅ τι δῶ[6] ἑκάστῳ τῶν φίλων. 7. τοὺς δὲ ἀποθανόντας αὐτοκέλευστοι οἱ Ἕλληνες ᾐκίσαντο, ὡς ὅτι φοβερώτατον τοῖς πολεμίοις εἴη. 8. ὅπως δ' ἀμυνούμεθα οὐδεὶς ἐπιμελεῖται. 9. ἀλλὰ δέδοικα μή,

ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν, ὥσπερ οἱ λωτοφάγοι ἐπιλαθώμεθα τῆς οἴκαδε ὁδοῦ. 10. φίλος ἐβούλετο εἶναι τοῖς μέγιστα δυναμένοις, ἵνα ἀδικῶν μὴ διδοίη δίκην. 11. καὶ ὁ Σωκράτης ὑπώπτευσε μή τι πρὸς τῆς πόλεως ἐπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι.[7] 12. καί σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα καθεύδῃς. 13. εἰ γὰρ οἷοί τε ἦσαν[8] οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν αὖ καὶ ἀγαθὰ τὰ μέγιστα· καὶ καλῶς ἂν εἶχεν.

II. 1. We must go, therefore, and ask Cyrus for boats, that we may sail away. 2. See to this, that we shall remain here in greatest safety. 3. For they feared that the enemy would attack them while going through[9] the ravine. 4. He thought that he needed friends, that he might have co-workers. 5. For they feared that they would be cut off and the enemy would get on both sides of them.[10] 6. And they were apprehensive that, if they should burn[11] the villages, they might not have provisions. 7. Let us therefore burn up the wagons which we have, that our teams may not be our generals.[12] 8. But no one of us is in return taking any[13] thought, how we shall contend (with them) as successfully as possible. 9. They fear that the Greeks will attack them during the night.[14] 10. I immediately proceeded to the city, that I might aid him. 11. Would that the general had died, that he might never have been so outraged! 12. See to (it), then,

that you be men worthy of the freedom which[15] you possess! 13. I did this, that it might not be apparent that we had set out for home.

NOTES.

[1] § 200, N. 3 *b*.

[2] *As secretly as possible.* Literally, *concealing himself* (middle) *as most he was able.*

[3] See note 4, Lesson XXXIV.

[4] § 134, N. 2.

[5] Subjunctive.

[6] § 256, and § 244. If this were a *conditional relative* sentence, **ὅ τι** would have **ἄν** joined to it, § 207, 2, and § 231, N.

[7] Subject of **εἴη,** of which **ἐπαίτιον** is the predicate. For **τι,** see § 160, 2.

[8] § 251, 2.

[9] § 277, 1.

[10] § 182, 2.

[11] § 277, 4.

[12] *May not lead* (**στρατηγέω**) *us,* § 171, 3.

[13] **οὐδέν,** § 159, N. 2, and § 283, 9.

[14] § 179, 1.

[15] § 153.

LESSON LXXIX.

The Infinitive.

GRAMMAR: §§ 258–262 (with § 260, 1, N. 1, and 2, N. 1, and § 261, 1, N. 1); §§ 265–267 (omitting § 266, 2); § 274.

Exercises.[1]

I. 1. *αἰσχρὸν δ' οὐδὲν ἐπὶ ταῖς βασιλέως θύραις οὔτ'*[2] *ἀκοῦσαι οὔτ' ἰδεῖν ἔστιν.*[3] 2. *Κῦρος οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν ἄρχειν ἀξιώτατος.* 3. *ἤρξατε τοῦ διαβαίνειν.* 4. *καὶ τοῖς ἱππεῦσιν εἴρητο θαρροῦσι*[4] *διώκειν.* 5. *καὶ εἴ τις πολέμιος ἐγένετο, σπεισαμένου Κύρου ἐπίστευε μηδὲν ἂν παρὰ τὰς*

σπονδὰς παθεῖν. 6. λοιπόν[5] μοι εἰπεῖν ὅπερ καὶ μέγιστον νομίζω εἶναι. 7. ἐνόμιζον γὰρ ἱκανοὺς εἶναι ἡμᾶς περιγενέσθαι τῷ πολέμῳ. 8. ἔτι δ' ἔχομεν σώματα ἱκανώτερα τούτων πόνους φέρειν. 9. συνωφελοῦσι δ' οὐδὲν οὔτε[2] εἰς τὸ μάχεσθαι οὔτ' εἰς τὸ τὰ ἐπιτήδεια ἔχειν. 10. κράτιστον[5] ἡμῖν ἴεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἄκρον. 11. ἀλλὰ ταῦτα περαίνειν ἤδη ὥρα. 12. ἡ βασιλέως ἀρχὴ ἦν τῷ διεσπάσθαι[6] τὰς δυνάμεις ἀσθενής. 13. οὗτοι ἱκανοὶ ἦσαν τὰς ἀκροπόλεις φυλάττειν. 14. δέκα δὲ τῶν νεῶν προύπεμψαν εἰς τὸν μέγαν λιμένα κατασκέψασθαι. 15. ἐκεῖναι[7] γὰρ διὰ τὸ χειροπληθέσι τοῖς λίθοις σφενδονᾶν ἐπὶ βραχὺ ἐξικνοῦνται. 16. Μένων δὲ πρὶν δῆλον εἶναι τί ποιήσουσιν οἱ ἄλλοι, συνέλεξε τὸ αὐτοῦ στράτευμα. 17. ἔχω γὰρ τριήρεις ὥστε ἑλεῖν τὸ ἐκείνων πλοῖον. 18. πρὶν καταλῦσαι τὸ στράτευμα βασιλεὺς ἐφάνη. 19. ηὑρίσκετο δὲ ἐν ταῖς κώμαις μόλυβδος, ὥστε χρῆσθαι εἰς τὰς σφενδόνας. 20. εἶπεν ὅτι σπείσασθαι βούλοιτο ἐφ' ᾧ μήτε αὐτὸς τοὺς Ἕλληνας ἀδικεῖν μήτε ἐκείνους καίειν τὰς οἰκίας. 21. πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι, ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσιν.

II. 1. It seemed best to them to go away. 2. And the station was near, where he was about to halt.[8] 3. It is not, therefore, a time for us to be sleeping. 4. But it was a most fearful (thing) to see. 5. They rush in pursuit.[9] 6. They intrust their children to them to be educated.[10] 7. It was

manifest, therefore, that Menon desired to be rich. 8. But the peltasts must pursue. 9. The fairest equipment befits victory.[11] 10. He accomplished this by[12] being severe.[13] 11. We asked for the galley for the purpose of collecting boats. 12. For I should be able in this way to benefit my friends. 13. And they said they would give up the dead on condition that they would not burn the houses. 14. It is safer for them to flee than for us. 15. But when[14] it was now evening, it was time for the enemy to go away. 16. For we have come to save you. 17. The whole army crossed before the enemy appeared. 18. For he was stern in aspect.[15] 19. And they crossed before the rest gave answer. 20. And I so[16] brought (it) about that it seemed best to this (man) to cease warring[17] against me. 21. And he sacrificed before speaking to any one. 22. He was chosen to reconcile and restore you. 23. And they made so[16] great a noise that even the enemy heard (them).

NOTES.

[1] Review the exercises of Lessons XXXI. and LXXVI.

[2] § 283, 9.

[3] § 28, N. 1, at the end.

[4] Dative plural of the participle modifying the subject of **διώκειν,** but assimilated in case to **ἱππεῦσιν,** § 138, N. 8, *a* and *b*.

[5] Sc. **ἐστί.**

[6] A dative of cause. The following **τὰς δυνάμεις** is the subject of the infinitive.

[7] Sc. **αἱ σφενδόναι.** The subject of the following infinitive is a pronoun referring to the slingers.

[8] § 202, 3, N.

[9] Use the infinitive of **διώκω** after **εἰς,** § 262, 1.

[10] Put the infinitive in the active voice.
[11] The infinitive of **νικάω,** § 262, 2. For the case, see § 184, 2.
[12] **ἐκ.**
[13] Nominative, § 136, N. 3 *a*.
[14] **ἡνίκα.**
[15] Literally, *stern to see.*
[16] There is to be no separate word for *so* in the Greek sentence, where *so that* is expressed by one word.
[17] Genitive of the infinitive, § 174.

LESSON LXXX.

Participles.

GRAMMAR: §§ 275–280 (with § 280, notes 1 and 2).

Exercises.[1]

I. 1. ἐγὼ οὖν οὔποτε ἐπαυόμην βασιλέα μακαρίζων, διαθεώμενος ὅσην χώραν ἔχοι. 2. ὁ πρεσβύτερος παρὼν ἐτύγχανεν. 3. μετὰ τοῦτον ἄλλος ἀνέστη, ἐπιδεικνὺς[2] τὴν εὐήθειαν τοῦ τὰ πλοῖα αἰτεῖν κελεύοντος. 4. καὶ διετέλουν χρώμενοι τοῖς τῶν πολεμίων τοξεύμασι. 5. βουλοίμην δ' ἂν ἄκοντος[3] ἀπιὼν Κύρου λαθεῖν αὐτὸν ἀπελθών.[4] 6. οἱ δὲ βάρβαροι ἱππεῖς καὶ φεύγοντες ἅμα ἐτίτρωσκον εἰς τοὔπισθεν τοξεύοντες ἀπὸ τῶν ἵππων. 7. παρήγγειλε τοῖς φρουράρχοις λαμβάνειν ἄνδρας ὅτι πλείστους ὡς[5] ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι. 8. πέμπωμεν δὲ προκαταληψομένους[6] τὰ ἄκρα, ὅπως μὴ φθάσωσι οἱ Κίλικες καταλαβόντες. 9. καὶ κατέκοψάν τινας τῶν ἐσκεδασμένων ἐν τῷ πεδίῳ. 10. ἴσθι ἀνόητος ὤν. 11. οὐκέτι περιόψεται ὑμᾶς δεομένους τῶν ἐπιτηδείων. 12. μετὰ ταῦτα ἤδη

ἡλίου δύνοντος ἔλεξε τοιάδε.[7] 13. καὶ τοῖς ἱππεῦσιν εἴρητο θαρροῦσι διώκειν ὡς[5] ἐφεψομένης ἱκανῆς δυνάμεως. 14. τὰ δ' ἐκείνων[8] οὐ περιεῖδε κακῶς ἔχοντα. 15. οὗτος δέ, ἐξὸν μὲν εἰρήνην ἔχειν, αἱρεῖται πολεμεῖν, ἐξὸν δὲ ῥᾳθυμεῖν, βούλεται πονεῖν. 16. ἑκόντες[9] πένονται οἱ Ἕλληνες, ἐξὸν αὐτοῖς τοὺς νῦν οἴκοι ἀκλήρους πολιτεύοντας ἐνθάδε κομισαμένους[10] πλουσίους ὁρᾶν. 17. ταῦτα δὲ λέγων θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος.[11] 18. οὗτοι δὲ προσελθόντες καὶ καλέσαντες τοὺς ἄρχοντας λέγουσιν ὅτι βασιλεὺς κελεύει αὐτούς, ἐπεὶ νικῶν τυγχάνει, παραδόντας τὰ ὅπλα ἰόντας ἐπὶ τὰς βασιλέως θύρας εὑρίσκεσθαι, ἄν τι δύνωνται ἀγαθόν.

II. 1. But these got above the enemy (who were) following.[12] 2. For those who had been wounded were many. 3. And another army was secretly supported[13] for him in Thrace. 4. For they have ceased to war with one another. 5. He happened to have money. 6. We came and encamped near him. 7. Will you allow me to be without honor among the soldiers? 8. A square is a bad arrangement when enemies are following. 9. We attacked them while (they were) crossing the ravine. 10. He went up upon the heights without opposition.[14] 11. But why, then, when it was possible to slay you, did we not proceed to do it?[15] 12. When this had been said they arose. 13. I therefore never ceased to pity you. 14. Let us therefore attack those who

are burning the ships. 15. And they got upon the summit before the enemy. 16. He immediately crossed the river with his soldiers. 17. The enemy appeared while the Greeks were crossing the river. 18. They then announced that the generals had all suffered death. 19. Though he continues to send for me, I am not willing to go. 20. And they made ready to receive the enemy. 21. We are conscious[16] that we have done the citizens wrong. 22. He suffered no injury,[17] though he had (only) a few soldiers (with him).

NOTES.

[1] Review the exercises of Lessons XXXII., XXXIII., and LXXVI.

[2] § 276, 1. [3] Sc. **ὄντος.**

[4] Modifies the subject understood of **λαθεῖν.** For the case, see § 138, N. 8.

[5] § 277, N. 2 *a*, and § 278, 1, small print.

[6] § 277, 3. Sc. **στρατιώτας** as object to **πέμπωμεν.**

[7] § 148, N. 1.

[8] Sc. **πράγματα,** *their affairs.*

[9] § 138, N. 7.

[10] Modifies the subject understood of **ὁρᾶν.** We might have had the dative, § 138, N. 8 *b*.

[11] *Not* in indirect discourse, § 279, 2.

[12] Put the participle in the attributive (§ 142, 1) position.

[13] Literally, *was escaping notice being supported.*

[14] *No one opposing.*

[15] *Did we not come to* (**ἐπί**) *this?*

[16] In Greek, *conscious to ourselves.*

[17] *Suffered nothing,* **οὐδέν,** § 159, N. 2.

ADDITIONAL EXERCISES ON FORMS.

I. Nouns: First Declension Uncontracted. (IV.)[1]

I. 1. ἡ[2] τέχνη τὸν τεχνίτην τρέφει. 2. οἱ Κέλται τὰς θύρας τῶν οἰκιῶν[3] οὐδέποτε κλείουσιν. 3. τῷ νεανίᾳ[4] πρέπει ἡ ἐγκράτεια.[5] 4. ἀκροαταῖς[4] καὶ θεαταῖς προσήκει[6] ἡσυχίαν ἄγειν. 5. ἡ λύρα τὰς μερίμνας λύει. 6. ἡ μέριμνα τὴν καρδίαν ἐσθίει. 7. δίκη δίκην τίκτει καὶ βλάβη βλάβην. 8. ἡ τύχη πολλάκις μεταβολὰς ἔχει. 9. τὴν νεανίου ἀδολεσχίαν ψέγομεν. 10. Σπαρτιᾶται δόξης καὶ τιμῆς ἐρασταί εἰσιν.[7] 11. αἱ κῶμαι πύλας οὐκ[8] ἔχουσιν. 12. σπένδομεν ταῖς Μούσαις.[4] 13. ἡ κακία λύπην ἐπάγει. 14. ἀκούομεν, ὦ δέσποτα.[9] 15. ὦ νεανία, φέρεις τὸ βιβλίον (*book*); 16. ἡ ἐγκράτεια σωφροσύνην ἐν τῇ ψυχῇ τίκτει. 17. φιλεῖ[10] τὴν παιδείαν, τὴν σωφροσύνην, τὴν ἀλήθειαν, τὴν εὐσέβειαν. 18. ἡ παιδεία πηγὴ[11] τῆς σοφίας ἐστίν.[12] 19. ἡ θεοσέβειά ἐστιν ἀρχὴ τῆς σοφίας. 20. ἐπὶ κορυφῇ τῆς ἄκρας οἰκία ἐστίν.

II. 1. Luxury begets injustice and covetousness. 2. Good behavior befits a citizen.[4] 3. The nightingales are singing. 4. He bears his[2] poverty easily. 5. The soldiers have short swords. 6. The citizens'[13] houses have doors. 7. They are setting the house on fire. 8. Uprightness befits a judge. 9. They find daggers in[14] the houses of the village. 10. The young men admire the satrap's courage. 11. The soldiers, O citizens, command the satrap to destroy the bridge. 12. The (two) soldiers have daggers. 13. The soldiers are setting the citizens' houses on fire. 14. We admire the (two) citizens on account of[15] their friendship. 15. He commands the citizens and the hoplites to guard the bridge and the villages.

NOTES.

[1] The numeral (IV.) signifies that this set of Exercises is to be taken after Lesson IV. So the next set is to be taken after Lesson VIII., etc.

[2] § 141, N. 2.

[3] § 142, 1, and N., and § 142, 2, N. 2, at the end.

[4] § 184, 2. [5] § 141, N. 1 *b*.

[6] *It becomes.* See § 134, N. 2.

[7] *Are*, third person plural of the present indicative of **εἰμί**, *to be.* The form is an enclitic, § 27, with 3, and § 28, with 1.

[8] § 29, and § 13, 2.

[9] The recession of the accent in the vocative of **δεσπότης** is irregular.

[10] The contracted form of **φιλέει**, third singular of **φιλέω.**

[11] When in a sentence of this kind whose verb is the copula there are two nominatives, the one with the article is generally the subject. See § 141, N. 8.

[12] Third singular of **εἰμί.** For the accent, see § 28, 3. For the accent in the next sentence, see § 28, 2.

[13] § 142, 1, with N.

[14] **ἐν** (§ 29), with the dative.

[15] **διά,** with the accusative.

II. Nouns: Second Declension Uncontracted. (VIII.)

I. 1. Διόνυσον τῆς ἀμπέλου εὑρετὴν ἔλεγον.[1] 2. αἱ νῆσοι οἶνόν καὶ σῖτον καὶ ἔλαιον ἔφερον. 3. τὸν τῶν θεῶν σῖτον λέγουσιν οἱ ποιηταὶ ἀμβροσίαν. 4. συνέχουσι τὸν τῶν[2] ἀνθρώπων βίον εὐεργεσία καὶ τιμὴ καὶ τιμωρία. 5. κρίνει φίλους ὁ καιρός. 6. ὁ ὕπνος τῆς νόσου φάρμακόν ἐστιν. 7. ὁ ἀετὸς λαγὼς θηρεύει. 8. ὕπνος καὶ θάνατός εἰσιν ἀδελφώ. 9. ὁ κυναγὸς τὸν λαγὼν νεφέλῃ[3] τεθήρακεν. 10. οἱ θεοὶ τῶν ἀνθρώπων[4] φροντίζουσιν. 11. τοὺς θεοὺς θεραπεύσομεν. 12. φέρειν, ὦ δοῦλε, τὸν οἶνον τῷ νεανίᾳ[5] ἐκέλευσα. 13. ὁ οἶνος ἐλελύκει τὰς τῶν ἀνθρώπων μερίμνας. 14. ὁ θάνατος τοὺς ἀνθρώπους ἀπέλυσε πόνων.[6] 15. σιγὴ τοῖς ἀνθρώποις τιμὴν φέρει. 16. ὁ κακὸς[7] τοῖς θεοῖς καὶ τοῖς ἀνθρώποις ἐχθρός ἐστιν. 17. τῷ ταῷ[8] πτερά ἐστιν.[9] 18. ἐν τοῖς τῶν θεῶν νεῷς στῆλαι ἦσαν.[10] 19. τεθύκασι τοῖς θεοῖς. 20. ὁ ἀδελφὸς βιβλίον ἔγραφεν.

II. 1. The (two) bulls draw the wagon. 2. Danger is a test of courage.[11] 3. We chased[12] the wolves. 4. The speech delighted the men. 5. The enemy were pursuing from[13] the river. 6. The philosophers wrote books about[14] wisdom. 7. The house has halls. 8. He is leading the bull. 9. The soldiers find treasures in the temples. 10. The Egyptians consider the sun and the moon gods.[1] 11. They are

setting the (two) temples on fire. 12. Wine gladdens the souls of men. 13. They closed the hall-door.[15] 14. The men trusted the satrap's soldiers.[16] 15. The Samians keep peacocks in honor of Hera.[17]

NOTES.

[1] § 166.

[2] When a noun in Greek is used of a *whole class* of objects, it has the article. This is called the *generic* article, and often cannot be translated into English.

[3] § 188, 1.

[4] § 171, 2.

[5] § 184, 1.

[6] § 174.

[7] § 139, 1.

[8] § 184, 4.

[9] § 135, 2.

[10] *Were*, third person plural imperfect indicative of **εἰμί**, *to be*.

[11] § 141, N. 1 *b*.

[12] **ἐδιώξαμεν**, i. e. **ἐδιωκ-σαμεν**, § 16, 2.

[13] **ἀπό**.

[14] **περί**, with the genitive.

[15] *The door* (plural of **θύρα**) *of the hall*, § 142, 1, with N.

[16] § 184, 2.

[17] *In honor of Hera*, in Greek simply, —*for Hera*, § 184, 3.

III. Verbs: Indicative Active. (X.)

I. 1. ὅτε ἐπλησιάζομεν, τότε οἱ βάρβαροι ἀπέφευγον. 2. ὁ δὲ ἰατρὸς τὸν ἄνθρωπον θεραπεύσει. 3. ὅτε ἥλιος κατεδεδύκει, οἱ πολέμιοι ἐπλησίαζον. 4. ἄνεμος γὰρ οὐ κινήσει πύργον. 5. συνηκολούθησαν δὲ τῶν στρατιωτῶν πεντήκοντα. 6. τὰ τῶν Περσῶν ἱερὰ καὶ οἱ Μῆδοι τετιμήκασιν. 7. οἱ ποιηταὶ τὴν τῶν Ἀθηναίων ἀρετὴν μεμηνύκασιν. 8. οἱ ὁπλῖται ἠγόραζον οἶνον. 9. τόξα γὰρ καὶ σφενδόνας εἴχετε.[1] 10. τοὺς νεὼς ἐκεκοσμήκεσαν. 11. οἱ στρατιῶται τῶν πολεμίων τριάκοντα πεφονεύκα-

σιν. 12. πῶς πράττει ὁ ἀδελφός; 13. πεινήσουσι καὶ διψήσουσι καὶ ῥιγώσουσι καὶ ἀγρυπνήσουσιν. 14. Ἀλέξανδρος ἑκατὸν τάλαντα δῶρον ἔπεμψεν. 15. εἶτα τὰς διφθέρας συνῆγον.[2] 16. τοξότης ἐτύφλωσε τὸν Φίλιππον. 17. ἐχειροτόνησαν οἱ πολῖται στρατηγούς. 18. τοὺς δὲ ἀνθρώπους τὰ πλοῖα[3] ἀπεστερήκειτε. 19. τοὺς πολίτας ὠφελήκειν. 20. ἐτετελευτήκει ὁ στρατιώτης.

II. 1. The young man had written the letter. 2. You have educated your children well. 3. You sacrificed to the Muses. 4. He led the army forward.[2] 5. I have often hunted hares. 6. We found[4] gold in the tents. 7. We have called an assembly of the soldiers. 8. But he banished[5] the citizens. 9. The citizens embraced[5] their children. 10. The general collected[5] his soldiers together in the plain. 11. We shall command the bowmen to shoot. 12. For they tried[6] to surround the villages. 13. He will write a letter to[7] the general. 14. He has asked the satrap for pay.[3] 15. We sent both targeteers and bowmen upon[8] the hill.

NOTES.

[1] See note 1, Lesson V.
[2] § 26, N. 1.
[3] § 164.
[4] Use the imperfect, and see § 103, N.
[5] Imperfect.
[6] Aorist.
[7] παρά, with the accusative.
[8] ἐπί.

IV. Adjectives: First and Second Declension Uncontracted. (XII.)

I. 1. καλὸν φύουσι καρπὸν οἱ σεμνοὶ τρόποι. 2. ὁ νόμος ἐπαίνου[1] ἐστὶν ἄξιος, ὃς κωλύει κακῶς ἀγορεύειν τοὺς νεκρούς. 3. ὄνοι ἄγριοι ἐν τῷ πεδίῳ ἔτρεχον. 4. ἀγαθὴ ἡ ἀδελφῶν κοινωνία ἐστίν. 5. Ἀθήναις[2] θεία δόξα ἐστίν. 6. ἐκ τῶν σπονδῶν εἰρήνην βεβαίαν ἔχομεν. 7. αἱ τῶν ἀγαθῶν ἀνθρώπων φιλίαι βέβαιαί εἰσιν. 8. καλὴν ᾠδὴν ᾄδει. 9. παρ' ἐσθλῶν[3] ἐσθλὰ μανθάνεις. 10. πιστὸς ἑταῖρος τῶν ἀγαθῶν[4] τε καὶ τῶν κακῶν μετέχει. 11. οἱ ἀνδρεῖοι ἀγήρων ἔπαινον λαμβάνουσιν. 12. ὁ θηρευτὴς φιλόθηρος ἦν καὶ φίλιππος. 13. καὶ νῦν δύο καλώ τε κἀγαθὼ[5] στρατιώτα τετελευτήκατον. 14. εὔζωνοι γὰρ ἦσαν. 15. οἱ θεοὶ τοῖς ἀγαθοῖς[6] ἵλεῴ εἰσιν. 16. καὶ ἐσκήνησαν ἐν οἰκίαις καλαῖς μεσταῖς σίτου. 17. οἱ θεοὶ τὰ λοιπὰ ἐπετέλεσαν. 18. Κῦρος γὰρ βασιλικός τε καὶ ἄρχειν[7] ἄξιος ἦν. 19. ὑπὲρ γὰρ τῆς κώμης γήλοφος καλὸς ἦν. 20. ὁ μὲν[8] κύκνος λευκός, ὁ δὲ ταὼς ποικίλος ἐστίν.

II. 1. The valor of the Spartans[9] was wonderful. 2. The road was impassable. 3. The villages were close together. 4. The land was fertile. 5. The hoplites have beautiful arms. 6. The gods were propitious. 7. (There) is another road. 8. The soldiers were without breakfast. 9. The gods are both free from old age and immortal. 10. The young

man was fond of danger. 11. White clouds were hiding the sun. 12. You were criminal and unjust. 13. The road was long, but nevertheless passable by wagons. 14. The citizens were faithful and constant. 15. They are singing beautiful songs in the theatre.

NOTES.

[1] § 178, N.
[2] § 184, 4.
[3] § 139, 1.
[4] § 170, 2.
[5] **καὶ ἀγαθώ,** § 11, 1, with *a*.
[6] § 185, and § 184, 2.
[7] § 261, 1, with N.
[8] See note 10, Lesson XIX.
[9] § 142, 1, with N.

V. Nouns and Adjectives: Contracts of the First and Second Declensions. (XIV.)

I. 1. οἱ Πέρσαι θύουσιν ἡλίῳ καὶ γῇ καὶ σελήνῃ. 2. νεῦρα καὶ ὀστᾶ ὁ ἄνθρωπος ἔχει. 3. αἱ παρθένοι ἐν κανοῖς τοὺς καρποὺς φέρουσιν. 4. οἱ ἀγαθοὶ πολῖται τοὺς ἄνους δημαγωγοὺς φεύγουσιν. 5. οἱ ὅμοιοι τοῖς ὁμοίοις εὖνοί εἰσιν. 6. ἁπλοῦς ὁ τῆς ἀληθείας λόγος ἐστίν. 7. ὁ ἀοιδὸς χρυσοῦν σκῆπτρον φέρει. 8. λευκὰ νεκρῶν ὀστᾶ ἐστιν[1] ἐν τῷ ἄντρῳ. 9. αἱ τῶν θεῶν ἅμαξαι ἀργυροῦς τροχοὺς ἔχουσιν. 10. οἱ πλούσιοι ἐκ χρυσῶν κυπέλλων σπένδουσιν. 11. εὖνοι φίλοι τοὺς κινδύνους ἀμύνουσι τῇ προνοίᾳ.[2] 12. οἱ ἀγαθοὶ φίλοι πιστὸν νοῦν ἔχουσιν. 13. ὁ πλοῦς ἐστιν ἄδηλος τοῖς ναύταις. 14. ὁ ὄχλος οὐκ ἔχει νοῦν. 15. οὐκ ἐρίζομεν τοῖς ἄνοις.[3] 16. αἱ θεράπαιναι ἐν κανοῖς τὸν ἄρτον προσ-

φέρουσιν. 17. ὁ θάνατος λέγεται χαλκοῦς ὕπνος.[4] 18. πλοῦτος ἄνευ νοῦ ὁμοίως ἐστὶν ἄχρηστος, ὥσπερ ἵππος ἄνευ χαλινοῦ. 19. νεῦρα καὶ ὀστᾶ ἀνθρώπων φθαρτά ἐστιν.[1] 20. ὁ μὲν ἥλιος σφαῖρα χρυσῆ, ἡ δὲ σελήνη ἀργυρᾶ εἶναι[5] φαίνεται.

II. 1. They are carrying golden fruit[6] in a silver basket. 2. The bones of Orestes were at Tegea. 3. The gods afforded the sailors[7] a fair voyage. 4. The goblet is of silver. 5. A kindly word lightens pain. 6. We have friends (that are) well disposed. 7. Xenias was well disposed to Cyrus. 8. The man's speech was simple. 9. The young man was admiring the golden goblet. 10. Shall the soldiers trust the senseless general? 11. We will not obey a senseless man.[8] 12. The voyage was down[9] stream. 13. There are stones in the current of the river. 14. Senseless (men) give way to their desires.[8] 15. We admire the skill of Hermes.

NOTES.

[1] § 135, 2.
[2] § 188, 1.
[3] § 186, N. 1.
[4] § 136.
[5] *To be*, present infinitive of εἰμί.
[6] Plural.
[7] Dative, § 184, 1.
[8] § 184, 2.
[9] κατά, with the accusative.

VI. Verbs: Indicative Middle. (XV.)

I. 1. οὐκ ἐπείθετο. 2. περὶ τῶν κοινῶν ἐβουλεύοντο. 3. ὁ φιλόσοφος μέθης[1] καὶ λαλιᾶς πάμπαν

ἀπείχετο. 4. οἱ πολέμιοι ἐπὶ Ἀθήνας πορεύσονται. 5. περὶ τῆς τῶν πολιτῶν σωτηρίας βουλευσόμεθα. 6. ἐπὶ τοὺς Πέρσας πεπόρευνται. 7. ὁ ποιητὴς λόγον πεποίηται περὶ ἀρετῆς. 8. οἱ πολῖται σῖτον συνάξουσιν, ᾧ[2] θρέψονται ἐν τῇ πολιορκίᾳ. 9. οἱ πολῖται τοῖς νόμοις πείσονται. 10. τὰ δ' ἕτερα παρὰ θεῶν ᾐτησάμην. 11. τὰς τῆς οἰκίας θύρας ἐκέκλειτο. 12. ἐποιήσασθε τοὺς κωμήτας τῷ σατράπῃ εὔνους. 13. συνετάξαντο[3] οἱ στρατιῶται ὡς εἰς μάχην. 14. στρατηγοὺς αἱρήσονται ἄλλους, εἰ μὴ βούλεται Κλέαρχος ἀπάγειν. 15. τὴν βασιλείαν ὁ δῆμος ἐλέλυτο. 16. ἐπ' ἐργασίαν τρέψομαι. 17. οἱ δὲ δοῦλοι ἐλούσαντο. 18. ἐπεποίητο πόλεμον ἐπὶ τὸν σατράπην σὺν τοῖς στρατιώταις. 19. οἱ πολῖται τοὺς νεανίας ἐπαιδεύσαντο.[4] 20. οἱ στρατιῶται ἐν τῷ πεδίῳ διασπείρονται.

II. 1. We will deliberate about the safety of the citizens. 2. He did not obey[5] the Thirty. 3. The philosophers exhorted the citizens to[6] self-control. 4. We will obey God rather than men. 5. Cyrus enslaved[7] the Medes. 6. We had deliberated without anger. 7. The soldiers bathed in the river. 8. They procured[5] themselves arms from the neighboring villages. 9. The villagers are warding off danger from themselves. 10. The men will guard[8] themselves against their enemies. 11. The hoplites accordingly were arming themselves for battle. 12. A cloud of dust is seen[9] in the plain. 13. We

immediately sent for boats and arms. 14. The army had already proceeded to the villages above the river. 15. The villagers, therefore, are deliberating how they shall persuade the satrap.

NOTES.

[1] § 174.
[2] § 188, 1. For the following verb, see **τρέφω.**
[3] Aorist middle of **συντάττω.**
[4] § 199, N. 2.
[5] Imperfect.
[6] **πρός.**
[7] Aorist.
[8] The future of **φυλάττω** is **φυλάξω.**
[9] *Is seen*, i. e. *appears.*

VII. Nouns: Mute or Liquid Stems of the Third Declension. (XVII.)

I. 1. οἱ μὲν[1] γῦπες νεοττεύουσιν ἐπὶ πέτραις ἀπροσβάτοις, οἱ δὲ ὄρτυγες καὶ πέρδικες ἐπὶ τῆς γῆς. 2. ἡ Ἰνδικὴ χώρα ἔχει φλέβας καταγείους παντοδαπῶν μετάλλων. 3. τὰ ἄστρα τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει. 4. αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοί, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν. 5. τὰ μαθήματα τοὺς νέους ἀποτρέπει ἁμαρτημάτων. 6. χαλεπαὶ φροντίδες εἰσὶ λυπηραὶ τῇ ψυχῇ. 7. τοῖς γέρουσιν ἐπείθοντο οἱ νεανίαι. 8. δίκαιόν ἐστιν ὑπὲρ τῆς πατρίδος στρατεύεσθαι. 9. Ἥφαιστος τὼ πόδε[2] χωλὸς ἦν. 10. εἰκότως τὴν ἀχαριστίαν ἡγεμόνα ἐπὶ τὰ αἰσχρὰ λέγουσιν. 11. αἱ ἀσπίδες μικραὶ ἦσαν. 12. οἱ λέοντες ἁρπάζουσι τὴν ἄγραν τοῖς ὄνυξι[3] καὶ τοῖς κρατεροῖς ὀδοῦσιν. 13. τῆς ἡμέρας[4] οἱ ἄλλοι ὄρνιθες τὴν γλαῦκα τίλλουσιν.

14. χεὶρ χεῖρα νίζει. 15. τὸ χρυσίον ἐν πυρὶ βασανίζομεν. 16. ἀπὸ τῆς νήσου εἰς Λιβύην πλοῦς ἐστιν ἡμέρας[5] καὶ νυκτός. 17. οἱ ποιμένες τὰς τῶν αἰγῶν ἀγέλας εἰς τοὺς λειμῶνας ἐλαύνουσιν. 18. ὁ κῆρυξ τοὺς Ἕλληνας ἐκέλευσε στρατεύεσθαι. 19. ὅτε ὁ κῆρυξ ἐπλησίαζεν, οἱ φυγάδες ἀπέφευγον. 20. οἱ παῖδες τὰ σώματα γυμνάζουσιν σὺν πόνοις καὶ ἱδρῶτι.

II. 1. The boys play. 2. The shepherd is driving the goats. 3. They drive their horses with whips. 4. We will not honor flatterers. 5. An ant's life is full of toil. 6. Cyrus leaped down from his chariot. 7. Favor begets favor, strife (begets) strife. 8. The orator refrains from unseemly strife. 9. (There) was a fight once of the giants[6] against the gods. 10. The king is come with his army. 11. In difficult affairs few companions are faithful. 12. The Greeks pour out bowls of milk to the gods as offerings. 13. The shepherds wonder at the armies. 14. The boys will taste the milk.[7] 15. (There) were both quail and cock fights[8] among the Athenians.

NOTES.

[1] See note 10, Lesson XIX.
[2] § 160, 1.
[3] § 188, 1.
[4] § 179, 1.
[5] § 167, 5.
[6] § 184, 4.
[7] § 171, 2.
[8] *Contests of quails and of cocks.*

VIII. Verbs: Indicative Passive. (XVIII.)

I. 1. ὠνομάζετο σωτὴρ τῆς πατρίδος. 2. οἱ λῃσταὶ πεφόνευνται ὑπὸ τῶν πολιτῶν. 3. δύο ἀδελφὼ ὑπὸ τοῦ αὐτοῦ[1] διδασκάλου πεπαίδευσθον. 4. τοῖς θεοῖς ὑπὸ τῶν Ἀθηναίων πολλοὶ νεὼ ἵδρυνται. 5. Ξενοφῶντος υἱὼ ἐπεπαιδεύσθην ἐν Σπάρτῃ. 6. αἱ πύλαι κεκλείσονται. 7. αἱ δημοκρατίαι ὑπὸ τῶν τυράννων κατελύθησαν. 8. ὁ λῃστὴς φονευθήσεται. 9. οἱ στρατιῶται πρὸς τοὺς πολεμίους πορεύεσθαι ἐκελεύσθησαν. 10. Σπάρτη ποτὲ ὑπὸ σεισμοῦ δεινῶς ἐσείσθη. 11. ὁ πόλεμος κατεπαύσθη. 12. ἡ συνθήκη ὑπὸ τῶν βαρβάρων λέλυται. 13. δύο καλὼ ἵππω εἰς τὴν κώμην ἠλαυνέσθην. 14. ὡς (*how*) οἱ Ἕλληνες ἐπορεύθησαν, ἐν τῷ ἔμπροσθεν λόγῳ δεδήλωται. 15. ταῦτα ὑπὸ τῶν πολεμίων ἐπέπρακτο.[2] 16. Μιλτιάδης ὠνομάζετο σωτὴρ τῆς Ἑλλάδος. 17. τὸ σῶμα τοῦ κροκοδείλου θαυμαστῶς ὠχύρωται. 18. ἐν πολέμῳ ἀποκεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. 19. Κῦρος ἐπαιδεύετο σὺν τοῖς ἄλλοις παισίν. 20. τὸ στράτευμα οὕτως ἐπείσθη·[3] Μένων δὲ συνέλεξε τὸ ἑαυτοῦ[4] στράτευμα χωρὶς τῶν ἄλλων, καὶ ἔλεξε τάδε.[5]

II. 1. The treaty had been broken by the Greeks. 2. For we have been persuaded by our commanders to proceed. 3. The royal authority had been abolished by the people. 4. Guides, therefore, will be sent to the Greeks at daybreak. 5. They were sent

into the camp by the enemy. 6. The judges were completely deceived by the accuser. 7. The ranks will be deserted by the soldiers. 8. The democracy has been overthrown by the tyrant. 9. The temples of the gods have been adorned with Phrygian spoils.[6] 10. The property has been stolen[7] by thieves. 11. He will be vexed[8] because the money was not sent. 12. The boys had been well educated. 13. Socrates was called a wise man (ἀνήρ) by the Athenians. 14. The army was brought in safety[9] to Greece by the generals. 15. The villages had been plundered by the satrap's army.

NOTES.

[1] *Same*, § 79, 2.
[2] Pluperfect passive of **πράττω.**
[3] § 16, 1.
[4] *Of himself*, § 80.
[5] *As follows*, literally, *these* (*things*), neuter plural of **ὅδε,** § 83.
[6] § 188, 1.
[7] **κέκλεπται.**
[8] Use the future middle.
[9] Imperfect.

IX. Nouns: Third Declension (*continued*). (XXI.)

I. 1. θάνατός ἐστι λύσις ψυχῆς ἀπὸ σώματος. 2. τοῖς παισὶ χρὴ αἰδῶ,[1] οὐ χρυσίον, καταλείπειν. 3. τὸ χωρίον Κεραμεικὸς ὄνομα ἔχει ἀπὸ ἥρως[2] Κεράμου. 4. ἡ γλαῦξ θηρεύει μῦς.[3] 5. ἁλίσκονται μάλιστα οἱ ἰχθύες πρὸ ἡλίου ἀνατολῆς καὶ μετὰ δύσιν. 6. τὴν φρόνησιν τῆς ψυχῆς ἰσχὺν ἐνόμιζον.[4] 7. οἱ ὄφεις ἐσθίουσιν ὀρνίθια. 8. τὰ χρήματα ἐν ταῖς πόλεσι στάσεις ἐγείρει. 9. πόλεων μὲν λαμ-

πρότητας θαυμάζομεν, τὰς δὲ πατρίδας στέργομεν. 10. ἐν τῇ Συρίᾳ τὰ πρόβατα τὰς οὐρὰς ἔχει τὸ πλάτος[5] πήχεως. 11. οἱ σύμμαχοι ναυσὶν εἰς Ἀθήνας πλέουσιν. 12. κοινὸς χῶρος ἅπασι,[6] πένησί τε καὶ βασιλεῦσιν. 13. τοῖς Ἀθηναίοις πλῆθος τριήρων ἦν. 14. αἱ τιμαὶ τῶν γονέων τοῖς ἐκγόνοις εἰσὶ καλὸς θησαυρός. 15. ἀλλὰ καὶ αἶγας καὶ βοῦς τρέφει. 16. ἔστι τῶν νέων καὶ τοῖς γέρουσι καὶ ταῖς γραυσὶν ἀξίας τιμὰς ἀπονέμειν. 17. τὰ μακρὰ τείχη τὰ πρὸς τὸν Πειραιᾶ[7] τετταράκοντα σταδίων ἦσαν. 18. ἀποβάλλει ἡ ἔλαφος τὰ κέρα ἐν τόποις χαλεποῖς καὶ δυσεξευρέτοις. 19. ὁ θάνατος τῶν ἐν γήρᾳ κακῶν φάρμακόν ἐστιν. 20. τὸ γένος τῶν ἀνθρώπων οὐ μόνον τοῖς τῆς γῆς φυτοῖς,[8] ἀλλὰ καὶ τῶν βοσκημάτων γάλακτι καὶ τυρῷ καὶ κρέασι τρέφεται.

II. 1. The wise (man) scrutinizes the end of every[9] undertaking before he begins it.[10] 2. The singers are worthy[11] of honor and respect. 3. Man surpasses in understanding[12] the rest of[13] animals.[14] 4. The soldiers sailed away to the island in[15] the triremes. 5. Those in the city[16] admire the poet's wisdom. 6. (There) were in[15] the ships the old women and the children and the cattle. 7. Man has five senses, touch, sight, hearing, taste, (and) smelling. 8. The horsemen were being drawn up before the king. 9. The river contains all[17] kinds of fish. 10. Clearchus holds the right wing of the army.

11. The city has two beautiful harbors. 12. Her walls afforded this city safety. 13. He drove[18] his chariot through the ranks of the Greeks. 14. (Men) call old age the winter of life. 15. If one[19] has a beautiful body and a corrupt heart, he has a good[20] ship and a bad pilot.

NOTES.

[1] § 55, N. 1.
[2] § 55, N. 1, second paragraph.
[3] § 9, 5.
[4] § 166.
[5] § 160, 1.
[6] § 185.
[7] § 53, 3, N. 3.
[8] § 188, 1.
[9] **πάσης,** genitive singular feminine of **πᾶς,** § 67.
[10] Literally, *before the beginning.*
[11] § 178, N.
[12] § 188, 1, N. 1.
[13] § 142, 2, N. 3.
[14] § 175, 2.
[15] **ἐπί,** with the genitive.
[16] § 141, N. 3, second paragraph.
[17] **παντοῖος.**
[18] Imperfect.
[19] **τις,** an enclitic, § 84, and § 27, 2.
[20] **καλός.**

X. Verbs: Subjunctive. (XXIII.)

I. 1. *κύνας τρέφομεν, ἵνα τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκωσιν.* 2. *μὴ φεύγωμεν, ἀλλὰ καλῶς ἀποθνήσκωμεν ὑπὲρ τῆς πατρίδος.* 3. *οἱ φαῦλοι εὖ λέγουσιν, ἵνα τὴν δόξαν τῆς ἀρετῆς λαμβάνωσιν.* 4. *ἀνδρείως μαχώμεθα, ὦ στρατιῶται, ὅπως μὴ ἐπὶ τούτοις ὦμεν.* 5. *ἀναπαυσώμεθα, ὦ φίλοι, τούτου τοῦ πολέμου.* 6. *αὕτη πρόφασις ἔσται τοῦ πολέμου, ἣν μὴ ἀκούσωσιν.* 7. *μὴ ποιήσητε ὃ πολλάκις ὑμᾶς ἔβλαψε δέδοικα.* 8. *ἐὰν τούτους τοὺς πολίτας αἰσθανώμεθα ἐναντίους τῇ ὀλιγαρχίᾳ, ἐκποδὼν ποιησόμεθα.* 9. *ἐὰν τοιοῦτος τὴν πολιτείαν*

ἐπιτηδεύῃ, καλῶς ἕξει. 10. ἐὰν μὴ ταῦτα ἀσκήσῃ, ἀδικήσει. 11. φόβος τοὺς πολίτας ἔχει, μὴ αἱ συνθῆκαι ὑπὸ τῶν πολεμίων λυθῶσιν. 12. πάντα πρᾶττε μετὰ προνοίας, μὴ ἁμαρτάνῃς. 13. οὗτος ὁ θώραξ οὕτως εἴργασται[1] ὡς μὴ κωλύῃ ἐπικύπτειν. 14. οὐ πεφόβηται οὐδὲ δέδοικε μὴ δόξαν πονηρίας ἔχῃ. 15. οἱ γὰρ πολέμιοι εἰς τὰ ὄρη φεύξονται, ἐὰν πορευθῶμεν. 16. καὶ ἐγώ, ἐάνπερ βούλῃ, περὶ τῶν θείων διηγήσομαι. 17. ὁ δὲ μάντις δέδοικε μὴ καταμένῃ ἡ στρατιά. 18. ἂν ἐκπλέητε, μισθοφορὰν παρέξω κυζικηνὸν ἑκάστῳ τοῦ μηνός.[2] 19. καὶ ἐὰν ἐγὼ φαίνωμαι ἄδικος εἶναι, κολάζεσθε. 20. ὥρα ἐστὶ βουλεύεσθαι μὴ κακοί τε καὶ αἰσχροὶ ἀποφαινώμεθα.

II. 1. Let us deliberate about the safety of the city. 2. If you make[3] this man a friend,[4] he will aid (you). 3. The boy brings the book to his teacher that he may read (it). 4. Let us remain at home. 5. Let us shun the unseemly and aspire after[5] the beautiful. 6. If these soldiers fight courageously, they will be honored. 7. For if you put these heralds to death, there will be war. 8. They fear that the robbers will slay the villagers. 9. Let us fight nobly for our country. 10. If you work, you will fare well. 11. The citizens fear that the treaties will be broken. 12. If you educate these children well, they will honor (you). 13. Let us rest, Soldiers, and deliberate. 14. If he says that, he will speak the

truth. 15. They fear that the soldiers will in this way be persuaded.

NOTES.

[1] Perfect passive, in passive sense, of **ἐργάζομαι.**
[2] § 179, 1. [3] Aorist. [4] § 166.
[5] **ὀρέγομαι** with the genitive, § 171, 1. Use **μέν... δέ.**

XI. Adjectives: Third Declension, and First and Third Declensions Combined. (XXIV.)

I. 1. ἄνθρωπος ἀτυχὴς σώζεται ὑπ' ἐλπίδος. 2. τῆς παιδείας αἱ μὲν ῥίζαι εἰσὶ πικραί, γλυκεῖς δὲ οἱ καρποί. 3. τὸ τῶν βοῶν γένος τοῖς ἀνθρώποις μάλιστα λυσιτελές ἐστιν. 4. δόξα καὶ πλοῦτος ἄνευ συνέσεως οὐκ ἀσφαλῆ κτήματα. 5. πᾶσα ἐπιστήμη χωρὶς δικαιοσύνης πανουργία, οὐ σοφία φαίνεται. 6. λέγωμεν ἀεὶ τὰ ἀληθῆ, ὦ παῖδες. 7. Ἡρακλῆς τοῖς ἀτυχέσι σωτηρίαν παρεῖχεν. 8. πέπονες οἱ βότρυες πορφυροῖ καὶ γλυκεῖς εἰσιν. 9. διὰ τὴν τῶν χρημάτων κτῆσιν πάντες οἱ πόλεμοι τοῖς ἀνθρώποις εἰσίν. 10. ἡ λίμνη παντοίους ἔχει ἰχθῦς, ὧν ἡδεῖά ἐστιν ἡ σάρξ. 11. τῶν κύκνων οἱ μὲν[1] λευκοί, οἱ δὲ μέλανές εἰσιν. 12. εὐδαίμονές εἰσιν οἱ ἄνθρωποι, οἳ ἵλεως ἔχουσι τοὺς θεούς. 13. οἱ ἀκρατεῖς αἰσχρὰν δουλείαν[2] δουλεύουσιν. 14. οὐ πᾶσι τοῖς πλουσίοις ἔξεστιν εὐδαίμοσιν[3] εἶναι. 15. πάντες οἱ σύμμαχοι κοινωνοὶ ἦσαν τῆς λείας.[4] 16. ὦ τάλαινα ἀδελφή, ᾗ παντοῖαί εἰσι μέριμναι. 17. μνήμονες

τῶν τοῦ σοφοῦ λόγων[5] *ἐσμέν.* 18. *χαρίεντα χορὸν*[2] *ἐν τῷ θεάτρῳ χορεύουσιν οἱ χορευταί.* 19. *δεῖ τὸν εὐγενῆ οὐ μόνον γένει*[6] *ἀλλὰ καὶ ἔθεσι καὶ πράγμασιν εἶναι ἐκπρεπῆ.* 20. *Σωκράτης ἐν τῇ διαίτῃ ἐγκρατὴς ἦν καὶ καρτερικὸς πρὸς ψῦχος καὶ χειμῶνα, πρὸς θέρος καὶ ἥλιον, πρὸς πάντας πόνους καὶ κινδύνους.*

II. 1. The robbers plunder everything. 2. Men are delighted by pleasing songs.[7] 3. Hopeful[8] (men) bear their ills easily. 4. God[9] is a punisher of the too high-minded. 5. All men have not the same[10] mind. 6. The fruit[11] is sweet. 7. The bridges were broad[12] and the river was deep. 8. All hate a loquacious person. 9. The gifts of the satrap were pleasing. 10. Pleasure is sweet,[12] but pain sharp. 11. All the Libyans were black. 12. He trusted the prudent general.[13] 13. The citizens were unfortunate[12] but well-born. 14. The words of the soothsayer are clear. 15. All the soldiers had black shields.

NOTES.

[1] § 143, 1.
[2] § 159.
[3] § 138, N. 8 *a*.
[4] § 180, 1, and § 170, 2.
[5] § 180, 1, and § 171, 2.
[6] § 188, 1, N. 1.
[7] § 188, 1.
[8] § 66, N. 3.
[9] Use the article.
[10] § 79, 2.
[11] Plural.
[12] Use **μέν . . . δέ.**
[13] § 184, 2.

XII. Verbs: Optative. (XXVI.)

I. 1. ἆρα οὐκ[1] ἂν ἀρέσκοι ὁ ἄνθρωπος τοῖς θεοῖς,[2] εἰ πείθοιτο αὐτοῖς; 2. τίς ἂν πιστεύσειε ψεύστῃ, καὶ εἰ ἀληθεύσειεν; 3. εἰ οὕτως ἔχοι, ἄνολβος οὔποτ' ἂν εἴης. 4. Κύρῳ φίλοι εἶναι περὶ παντὸς ἂν ποιησαίμεθα.[3] 5. τῶν στρατηγῶν κατηγόρησεν, ἵνα αὐτὸς περισωθείη. 6. εἰ τοὺς Μήδους ἀσθενεῖς ποιήσαιμι, πάντων γε ἂν τῶν πέριξ[4] ῥᾳδίως ἄρξαιμι. 7. ὁ παῖς τῷ παιδοτρίβῃ ῥόδον ἔφερεν, ἵνα χαίροι. 8. εἰ ἅμα ἐλεύθερός τ' εἴης καὶ πλούσιος, τίνος[5] ἂν ἔτι δέοιο; 9. οἱ στρατιῶται εἰς τὴν πολεμίαν γῆν ἐπορεύθησαν, ἵνα διαρπάζοιντο. 10. ἐδεδοίκειν μὴ ἡ γέφυρα λυθείη. 11. εἰ ταῦτα πράττοις, Κῦρον ἂν ὠφελήσειας. 12. εἰ ἔχοιμεν χρήματα, φίλους ῥᾳδίως ἂν ποιοίμεθα.[6] 13. εἰ ἐντεῦθεν εἰς τὴν Ἑλλάδα πορεύεσθαι βούλοιντο, οὐκ ἂν ἡγησαίμην. 14. οὐκ ἂν θαυμάζοιμι, εἰ κολάζοι τοὺς κακούργους. 15. ταῦτα δ' ἔπραξεν, ἵνα τοὺς στρατιώτας ἐξαπατήσειεν. 16. πῶς ἂν οὖν ἐγὼ βιασαίμην τούτους πορεύεσθαι, εἰ μὴ βούλοιντο; 17. οὗτος γὰρ ἔδεισε μὴ ἀδίκως δώρων[7] διώκοιμεν. 18. ἀλλ' ὅπως οἱ στρατιῶται ἐκπλεύσειαν ἐπὶ τῶν τριήρων, διὰ ταῦτα συνεβούλευεν. 19. ἐβοήθησαν οὖν τοῖς στρατιώταις, ὅπως σὺν ἐκείνοις μάχοιντο καὶ μὴ μόνοι κινδυνεύοιεν. 20. παρέπεμψε δὲ καὶ τῶν γυμνήτων ἀνθρώπους εὐζώνους εἰς τὰ ἄκρα, ὅπως σημαίνοιεν.

II. 1. He would perhaps hire these mercenaries, if they should proceed into his province. 2. They

feared that we should all fare ill. 3. I was there to fight.[8] 4. The king feared that the satrap would plot against the cities. 5. If he should do this, he would harm the city. 6. He was apprehensive that his enemies would be honored. 7. He feared that the soldiers would not fight bravely. 8. You would not be happy, even if[9] we should gratify (you) in this. 9. And then they brought the young man into the city, that he might be chastised for his deeds.[7] 10. If the general should send for the ships, he would do wrong. 11. I wrote the king this letter, that the whole affair might be made clear (to him). 12. If, therefore, we should slaughter the cattle, we should in this way procure ourselves provisions. 13. He therefore feared that the army might not arrive[10] in time. 14. But we asked for arms with which to defend ourselves.[11] 15. Not even if I should send for the ships, would you follow me.[12]

NOTES.

[1] § 282, 2.
[2] § 184, 2.
[3] § 226, 2, with *b*.
[4] § 141, N. 3. For the case, see § 171, 3.
[5] *What*, genitive singular of the interrogative pronoun **τίς**, § 84. For the case, see § 172, 1.
[6] § 9, 4.
[7] § 173, 2.
[8] *That I might fight.*
[9] *Not even if*, **οὐδ' εἰ,** at the beginning of the sentence.
[10] **πάρειμι.**
[11] See the third English sentence above.
[12] § 184, 2.

XIII. Verbs: Imperative. (XXIX.)

I. 1. ἕπου θεῷ καὶ τοῖς νόμοις πείθου. 2. οὐκοῦν ἐασάτω με καὶ δοκεῖν καὶ εἶναι καλόν τε κἀγαθόν. 3. τὰ ἀφανῆ τοῖς φανεροῖς[1] τεκμαίρου. 4. ἀνδρῶν φαύλων ὅρκον εἰς ὕδωρ γράφε. 5. ἀνεσπάσθω[2] τὸ ἀγκύριον. 6. ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ. 7. μὴ φεύγετε τοὺς πόνους, ἀλλ' ἐθελονταὶ ὑπομένετε. 8. ἄνθρωπος ὢν[3] μέμνησο τῆς κοινῆς τύχης. 9. μὴ λύπησον τὸν πατέρα. 10. ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος. 11. πρὸ τοῦ ἔργου εὖ βεβούλευσο. 12. οἱ νέοι παιδευέσθωσαν. 13. πατήρ τε καὶ μήτηρ πρόνοιαν ἐχέτων τῆς τῶν τέκνων παιδείας. 14. ἄκουσόν μου, ὦ φίλε. 15. δύο ἄνδρε μάχεσθον. 16. τὼ ἀδελφὼ ἐπέσθων. 17. ὁ θώραξ οὕτως εἰργάσθω, ὡς μὴ κωλύῃ καθίζειν. 18. μὴ ψευσθῇς καλαῖς ἐλπίσιν, ἀλλὰ πειράθητι ἃ δυνατά ἐστιν. 19. ὁ δὲ ἱερόσυλος ὑπὸ τῆς Χιμαίρας διασπασθήτω. 20. ἐννοήσατε ὅτι ἐπὶ ταῖς θύραις τῆς Ἑλλάδος ἐσμέν.

II. 1. Refrain, therefore, from disgraceful actions. 2. At daybreak pray to the gods. 3. Send for the ships. 4. Let the door be closed once for all.[2] 5. Do not blame this poor man. 6. Let a comrade trust a comrade. 7. Work, if you wish to fare well. 8. Let not the bad (man) occupy the place of the good (one). 9. Hear the witnesses, Judges! 10. Receive me, O Sea! 11. Let the

citizens guard the laws. 12. Proceed, therefore, at once, that you may encamp near us. 13. Let the old men remain in the village. 14. Hold fast the beautiful,[4] Athenians! 15. Let them send the scout upon the mountains at daybreak.

NOTES.

[1] § 188, 1.
[2] § 202, 2, N. 1.
[3] *Being*, the present participle of εἰμί.
[4] § 139, 2.

XIV. Syncopated Nouns of the Third Declension. — Irregular Adjectives. (XXX.)

I. 1. ἄρχων ἀγαθὸς οὐδὲν[1] διαφέρει πατρὸς ἀγαθοῦ. 2. σώφρων μὲν υἱὸς εὐφραίνει τὸν πατέρα, ἄφρων δὲ υἱὸς λυπεῖ τὴν μητέρα. 3. Λύσανδρος μεγάλων τιμῶν ἠξιώθη. 4. εἰκότως τὴν δικαιοσύνην μητέρα τῶν ἄλλων ἀρετῶν λέγουσιν. 5. ὕπνος πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἁρμόττει. 6. ἀνὴρ ἄνδρα καὶ πόλις σώζει πόλιν. 7. κακοῦ ἀνδρὸς δῶρα ὄνησιν οὐκ ἔχει. 8. ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς. 9. Σωκράτης οὐχ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων. 10. τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον. 11. παρακελεύονται οἱ πατέρες τοῖς υἱέσιν[2] εὐσεβεῖς καὶ εὐπειθεῖς εἶναι. 12. τὸν Κῦρον οἱ Πέρσαι πατέρα προσηγόρευον. 13. τοῖς ἀγαθοῖς ἀνδράσι λαμπρὰ δόξα ἕπεται. 14. ἡ ἀρετὴ καλὸν ἆθλόν ἐστιν ἀνδρὶ σοφῷ. 15. ὑπὲρ τῶν πατέρων καὶ τῶν μητέρων

γενναίως μαχώμεθα. 16. οὐκ ἀεὶ οἱ παῖδες ὅμοιοί εἰσι τῷ πατρί. 17. ἀγαθῶν μητέρων καὶ ἀγαθαὶ θυγατέρες, θυγατράσι γὰρ ἡ μήτηρ πασῶν ἀρετῶν διδάσκαλός ἐστιν. 18. ἄκουσα[3] ἡ θυγάτηρ τῇ μητρὶ τὴν λευκὴν ἐσθῆτα φέρει. 19. μέγας φόβος τοὺς πολίτας ἔχει, μὴ αἱ συνθῆκαι ὑπὸ τῶν πολεμίων λυθῶσιν. 20. οἱ Ἕλληνες πολλῶν καὶ μεγάλων πόλεων οἰκισταὶ ἦσαν.

II. 1. Brave men are admired. 2. The shepherd's daughter is singing. 3. The deeds of the good man are always noble. 4. Good sons obey their fathers and their mothers. 5. The words of the just have great power. 6. For this man has wisdom in place of great wealth. 7. The daughter brings her father the torch. 8. We did not accomplish these undertakings without great dangers. 9. Of great toils the glory is also great. 10. These men are being concealed in the orator's house. 11. In Egypt (there) is a great abundance of grain. 12. The good daughter obeys her mother gladly. 13. Many men strive after wealth. 14. The tongue is the cause of many great evils. 15. The great king had a large army and much wealth.

NOTES.

[1] *In no respect*, literally, *in respect to nothing*, neuter singular accusative of **οὐδείς** used adverbially, § 77, 1, N. 2, and § 160, 2.

[2] § 60, 5, 30.

[3] From **ἄκων.** See § 138, N. 7.

XV. Verbs: Infinitive. (XXXI.)

I. 1. καλόν ἐστι τὸ ἐν πολέμῳ ἀποθνήσκειν. 2. δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον. 3. νόμοις ἕπεσθαι καλόν. 4. εἰ βούλει ἀγαθὸς γίγνεσθαι, πρῶτον πίστευε, ὅτι κακὸς εἶ. 5. τεθυκέναι τούτους φησὶν τοῖς θεοῖς. 6. τὴν πόλιν φασὶ κινδυνεῦσαι. 7. εἰς τὴν πολεμίαν γῆν πορευθῆναι λέγονται. 8. ἐάν τις λέγῃ, ὅτι βασιλεῖ ἔξεστι μὴ πείθεσθαι τοῖς νόμοις, οὗτος λεγέσθω κόλαξ εἶναι. 9. πάντας χρὴ ταῦτα μανθάνειν. 10. οὐ πᾶσιν ἐθέλουσι συμβουλεύειν οἱ θεοί. 11. ἐλπίζομεν αὔριόν σε γράψειν, πῶς πράττει ὁ ἀδελφός. 12. πείθεσθαι τοὺς παῖδας τοῖς γονεῦσιν ἐκέλευεν. 13. τῆς Ἀγησιλάου ἀρετῆς τε καὶ δόξης ἄξιον ἔπαινον γράψαι οὐ ῥᾴδιόν ἐστιν. 14. Σωκράτην πεπεικέναι τοὺς νέους ἑαυτῷ[1] μᾶλλον ἢ τοῖς γονεῦσι πείθεσθαι ἔφασαν. 15. ἆρα[2] οἴεσθε τοὺς στρατηγοὺς τὴν Ἑλλάδα σώσειν; 16. αὐτὸς ἔφη ἡγήσεσθαι τὴν δύναμιν καὶ τὰ ὑποζύγια πορεύεσθαι.[3] 17. ὃ μέλλεις πράττειν, μὴ πρόλεγε. 18. τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἐστὶ δίκαιον. 19. Ἀλέξανδρος ἐπεθύμησεν ἐν Κύδνῳ λούσασθαι. 20. τὸ γὰρ πόλεις μεγάλας τὸν στρατηγὸν εἰληφέναι[4] καὶ χώραν πολλὴν ὑφ' ἑαυτῷ πεποιῆσθαι ἐπαίνου ἄξιόν ἐστιν.

II. 1. The king commanded the generals to march. 2. The father said he had been honored by his son. 3. To execute[5] is hard, but to command

easy. 4. He compels us to delay in the market-place. 5. He commanded him to say[6] that the general had taken the city. 6. He wished the boy not to appear foolish. 7. Do you not[2] think that the gods will care for you? 8. He commanded the god to serve a man[7] for hire for a year.[8] 9. They say that the seer was made blind by the gods. 10. The soldiers are not willing to proceed, but affirm that they will remain here. 11. It is right (for) the son to obey his father. 12. The bridge was said[9] to have been destroyed by the Greeks. 13. He says that the hoplites will proceed at day-break to the river. 14. All robbers of temples ought to be put to death. 15. He said that this stranger wished to take part in the expedition with us.

NOTES.

[1] *Himself*, dative singular of the reflexive pronoun **ἑαυτοῦ**, § 80.
[2] § 282, 2.
[3] Note carefully that the tenses of the infinitives are different.
[4] Perfect infinitive of **λαμβάνω.**
[5] Use **μέν . . . δέ.**
[6] **φάναι,** present infinitive of **φημί.**
[7] § 184, 2.
[8] § 161.
[9] See note 1, Lesson XXXIX.

XVI. Verbs: Participles. (XXXIII.)

I. 1. *οὐ πάνυ ἡδεῖά ἐστιν ἡ ἀλήθεια τοῖς ἀκούουσιν.* 2. *φεῦγε ἡδονὴν ὕστερον φέρουσαν βλάβην.* 3. *φίλους ἔχων νόμιζε θησαυροὺς ἔχειν.* 4. *τὸν χρυσὸν ἐκ· πολλοῦ βάθους οἱ μεταλλεύοντες ἀνορύτ-*

τουσιν. 5. Σωκράτης διαλεγόμενος προετρέπετο τοὺς συνόντας μάλιστα πρὸς ἐγκράτειαν. 6. τὰς προσπιπτούσας τύχας γενναίως φέρετε. 7. ὁ μάντις τὰ μέλλοντα καλῶς πεπροφήτευκεν. 8. Μήδεια τὰ τέκνα πεφονευκυῖα ἔχαιρεν. 9. ἀναπαυσάμενος πορεύσεται. 10. οἱ περὶ Λεωνίδαν τριακόσιοι γενναίως μαχόμενοι ἐτελεύτησαν. 11. ὁ δὲ ἤλαυνε πρὸς τὴν πόλιν, ὅπως ἐγγὺς στρατοπεδευσάμενος τοὺς φεύγοντας ὑπολαμβάνοι. 12. συνεκάλεσαν τοὺς πρέσβεις ἀπὸ τῶν πόλεων ἀκουσομένους τῆς ἐπιστολῆς. 13. οὗτος γὰρ τιμηθεὶς ὑπὸ τοῦ δήμου τὴν δημοκρατίαν καταλύειν πεπείραται. 14. οἱ πολέμιοι διώκουσιν εἰς τὸν ποταμὸν τὸ στράτευμα τὸ διαβαῖνον.[1] 15. ὡς τὸν ἄρξοντα δεῖ πρότερον μανθάνειν ἄρχεσθαι, νῦν λέξω. 16. ἱππέας πέμπωμεν ἐπὶ τὸν λόφον σκεψομένους ποῦ εἰσιν οἱ πολέμιοι. 17. νομίσασα ἡ πόλις ἀνεπικλητότερον εἶναι Ἀγησίλαον καὶ τῷ γένει καὶ τῇ ἀρετῇ, τοῦτον ἐποιήσατο βασιλέα. 18. ἅμα τῇ ἡμέρᾳ προσευξάμενοι τοῖς θεοῖς καὶ συνταξάμενοι ὡς εἰς μάχην ἐπορεύοντο οἱ Ἕλληνες. 19. οἱ Ἕλληνες τεθυκότες ἐξένιζον τοὺς φίλους. 20. οἱ δὲ παρήλαυνον τεταγμένοι κατ' ἴλας καὶ κατὰ τάξεις.

II. 1. Regard him that has died[2] happy. 2. He will move both stones and trees (by his) singing. 3. The generals had come with triremes to besiege the island. 4. I am pleased (at) having been honored by you. 5. He was not willing to converse[3]

with those who had not[4] property. 6. To you who have stirred up the city we shall oppose ourselves. 7. We will send men to do this. 8. He will collect[5] an army and besiege the city. 9. When they had done this, they withdrew to the camp. 10. He intends to come with boats and triremes. 11. He called the captains together[6] and spoke as follows. 12. He blinded me while sleeping. 13. Not only punish those who transgress, but also hinder those who intend (to do so). 14. Since you are mortal, remember, young men, the common lot.[7] 15. For these (two) men, if they should be trusted by the people, would overthrow the democracy.

NOTES.

[1] § 26, N. 2.
[2] Use **τελευτάω.**
[3] § 186, with N. 1.
[4] § 283, 4.
[5] Greek idiom, *having collected* (aorist participle) *an army he will besiege*, etc.
[6] Cf. II. 8, above.
[7] § 171, 2.

XVII. Comparison of Adjectives. — Verbals. — Adverbs and their Comparison. — Numerals. (XXXVI.)

I. 1. ἐν τοῖς ἐλέφασιν οἱ ἄρρενες πολὺ ἀμείνους εἰσίν. 2. δίκαιόν ἐστι τοὺς κρείττους τῶν ἡττόνων ἄρχειν. 3. συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ ἄριστα. 4. κολαστέον τὸν παῖδα, εἰ μέλλει εὐδαίμων εἶναι. 5. ἐχθρός, ὃς τὰ ἀληθῆ λέγει, αἱρετώτερός ἐστι φίλου, ὃς πρὸς χάριν κολακεύει. 6. πλεονεξία

μέγιστον ἀνθρώποις κακόν. 7. σαφέστερον καὶ ἀκριβέστερον λέγε τὰς ἐντολάς. 8. σωφροσύνην μὲν διωκτέον καὶ ἀσκητέον, ἀκολασίαν δὲ φευκτέον. 9. Κριτίας μὲν τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων βιαιότατος ἦν, Ἀλκιβιάδης δὲ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος καὶ ὑβριστότατος. 10. πάντων ἀδικώτατον πρᾶγμα φθόνος ἐστίν. 11. μείζους ἡδονὰς οὐκ ἔχουσιν οἱ γονεῖς, ἢ σώφρονας ἔχειν παῖδας. 12. οὐ μὴν δουλευτέον τοῖς γε νοῦν ἔχουσι τοῖς οὕτω κακῶς φρονοῦσιν.[1] 13. ἡ ᾠδὴ πάνυ χαριέντως ἔχει.[2] 14. οἱ κόρακες μελάντατοί εἰσι πάντων ὀρνίθων. 15. ἐν Ἀθήναις ἀντὶ τῆς πάλαι δημοκρατίας ὀλιγαρχία ἦν ἡ τῶν τριάκοντα τυράννων. 16. πολλάκις ἐκ μιᾶς ἁμαρτίας μυρίαι γίγνονται ἀλγηδόνες. 17. ὁ στρατηγὸς τὴν στρατιὰν εἰς τὰς ἐγγυτάτω[3] κώμας ἄγει. 18. τοῦ βασιλέως στρατεύματος ἦσαν ἄρχοντες τέτταρες, τριάκοντα μυριάδων ἕκαστος. 19. θέρους[4] μὲν ψυχροτέρῳ, χειμῶνος δὲ θερμοτέρῳ ὕδατι λούεσθαι χαριέστερόν ἐστιν. 20. λέγονται οἱ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι.

II. 1. The horns of the stag are much greater than[5] those of the gazelle.[6] 2. Traitors[7] are much more hateful than the enemy. 3. It is very[8] hard to be ruled by an inferior. 4. It is most truly said that Cyrus ruled justly. 5. The oracle at Delphi was most in repute. 6. Children have no[9] greater benefactors than their parents. 7. We must not flatter the commander, but obey (him) most zealously.

8. He was the son of a most prudent man. 9. The easiest road for an army is the quickest. 10. He has come with a thousand soldiers and twenty triremes to besiege the city. 11. We shall fight more bravely, if Cyrus himself lead (us). 12. The servant is both very fond of money and very idle. 13. The captain must lead a hundred and fifty[10] hoplites as quickly as possible into the nearest village. 14. It is fifteen stadia from this river to Thermopylæ. 15. Sophocles composed a hundred dramas.

NOTES.

[1] § 184, 2.
[2] See note 8, Lesson XXV.
[3] § 75, N. 1, and § 141, N. 3.
[4] § 179, 1.
[5] ἤ.
[6] *Than the (horns) of the gazelle.*
[7] Use the article.
[8] *Very* is sometimes translated by putting the word which it modifies in the superlative.
[9] *Not.*
[10] § 77, 2, N. 2 *a*.

XVIII. Verbs: Contract. (XXXVIII.)

I. 1. ῥᾷστόν ἐστιν ἁπάντων ἑαυτὸν[1] ἐξαπατᾶν. 2. οἱ νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις, ἀλλὰ ταῖς νυξὶν ἀριθμοῦσι τὸν χρόνον. 3. πληρῶμεν τὰς ναῦς καὶ πλέωμεν[2] ἐπὶ τοὺς πολεμίους. 4. νομίζω ἀεὶ τοὺς θεοὺς γελᾶν ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν. 5. μηδεὶς φοβείσθω θάνατον, ἀπόλυσιν κακῶν. 6. πανταχοῦ οἱ προδόται θανάτῳ ζημιοῦνται. 7. οἱ μὲν ἄλλοι ζῶσιν ἵνα ἐσθίωσιν, αὐτὸς[3] δὲ ἐσθίω ἵνα ζῶ. 8. ἅπαντα ὁ τοῦ ζητοῦντος πόνος

εὑρίσκει. 9. ἀλλὰ ἤδη δῃῶμεν τὴν τῶν βαρβάρων γῆν. 10. οἱ Ῥόδιοι μακρότερον ἐσφενδόνων τῶν πλείστων τοξοτῶν. 11. δεῖ τὰς πόλεις κοσμεῖν ταῖς τῶν οἰκούντων ἀρεταῖς. 12. εἴ τις τὴν τῶν σωμάτων φύσιν ἀκριβοίη, ἰῷτο ἂν πάσας νόσους; 13. μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής. 14. ἄριστ' ἂν αἱ πόλεις οἰκοῖντο, εἰ οἱ ἄρχοντες τοῖς νόμοις πείθοιντο. 15. Σωκράτης ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν,[4] ἵνα ἐσθίοιεν, αὐτὸν[5] δὲ ἐσθίειν, ἵνα ζῴη. 16. μὴ μέγα φρόνει, ἵνα μὴ ταπεινοῖ. 17. μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός. 18. μὴ ξυγχώρει τοῖς τῆς ψυχῆς πάθεσιν ἀλλ' ἐναντιοῦ. 19. Σικελία ἡ νῆσος πρότερον Τρινακρία ἐκαλεῖτο. 20. εἰ νόμος κελεύοι μὴ ἐσθίοντας[6] μὴ πεινῆν[4] καὶ μὴ πίνοντας μὴ διψῆν μηδὲ ῥιγῶν[7] τοῦ χειμῶνος[8] μηδὲ θάλπεσθαι τοῦ θέρους, τίς ἂν πείθοιτο τῶν ἀνθρώπων;

II. 1. Either be silent, or speak more fitly.[9] 2. Socrates did not neglect his body,[10] and did not approve those who neglected (theirs). 3. They approached, that they might free the captives. 4. It is fated (for) all men to die. 5. Those who love are loved, but those who hate are hated. 6. The soldiers were enslaved by the barbarians. 7. Let us rush on courageously, Soldiers, against the enemy. 8. The citizens feared that the city would be besieged. 9. Those who oppose themselves to the good are worthy of being punished.[11] 10. All (men)

are pleased when they are honored.[12] 11. Let us either conquer or die. 12. Let us free our friends, but get in hand our enemies. 13. He was greatly loved and honored by the Athenians. 14. Let not him who is most[13] fortunate be high-minded. 15. Imitate the actions (of those)[14] whose reputations you envy.

NOTES.

[1] *One's self*, § 80.
[2] § 98, N. 1.
[3] *Myself*, § 145, 1.
[4] § 98, N. 2.
[5] *Himself*, § 145, 1.
[6] § 277, 5.
[7] § 98, N. 3.
[8] § 179, 1.
[9] *Say better* (*things*).
[10] § 171, 2.
[11] § 261, 1.
[12] § 277, 1.
[13] μάλιστα.
[14] § 152.

XIX. Verbs: Present, Future, and First Aorist Stems. (XLI.)

I. 1. τὰ παρ' ὑμῶν ἀπαγγελοῦμεν τῷ βασιλεῖ. 2. οὐ τἀληθῆ ἀποκρυψόμεθα. 3. ἰσχυρῶς Ὅμηρον ἐθαύμαζεν Ἀλέξανδρος. 4. Κῦρος οὐδένα ἔπεμπε σημανοῦντα ὅ τι χρὴ ποιεῖν. 5. ἔλπιζε τιμῶν τοὺς γονέας πράξειν καλῶς. 6. εἰρήνης οὔσης[1] οἱ ἄνθρωποι σπεροῦσιν, ὁ δὲ πόλεμος πάντα διαφθερεῖ. 7. οἱ πατέρες ἡμῶν πολλὰ καὶ καλὰ ἔργα ἀπεφήναντο εἰς πάντας ἀνθρώπους. 8. οὐκ ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίσασθαι. 9. καὶ ἐκ πολέμου σώσουσι τὴν πόλιν καὶ εὐδαίμονα διαφυλάξουσιν. 10. ἄρχοντος πανουργία τὴν πᾶσαν πόλιν μιανεῖ. 11. τἀληθῆ ἀπόκριναι, ἐσθλὸς γὰρ ἀνὴρ οὐ ψεύδε-

ται. 12. ἐὰν φράσω τἀληθές, οὐχί σε εὐφρανῶ. 13. Θεμιστοκλῆς καὶ Ἀριστείδης ἐστασιαζέτην ἔτι παῖδε ὄντε.[2] 14. λόγισαι πρὸ τοῦ ἔργου. 15. οὔτε πῦρ ἱματίῳ περιστεῖλαι δυνατὸν οὔτε αἰσχρὸν ἁμάρτημα χρόνῳ. 16. ἐψηφίσαντο οἱ Ἀθηναῖοι τοὺς πολίτας ἀποσφάξαι. 17. σὺ μὲν παρ' ἐμοὶ ἔμεινας, οἱ δ' ἄλλοι ἀπῆραν οἴκαδε. 18. οἱ Ἕλληνες πάντες ἠλάλαξαν. 19. καὶ ὁ ἀναισθητότατος αἰσχυνεῖται τὸν εὐεργέτην ἐνδεᾶ λείπειν. 20. ὁ φόβος εὐπειθεστέρους τοὺς ἀνθρώπους ποιεῖ· τεκμήραιο δ' ἂν τοῦτο καὶ ἀπὸ τῶν ἐν τοῖς ναυσίν.[3]

II. 1. They will announce this to the generals at daybreak. 2. The gods have dealt out[4] misfortunes to many good (men). 3. They will leave the weak behind on[5] the road. 4. We beseech you to defend[4] us. 5. We fully armed all the citizens. 6. He will arrange the soldiers four deep.[6] 7. After she had killed[7] her son she leaped into the sea. 8. They will all lament their unfortunate friend. 9. (The herald)[8] made proclamation to the Greeks to collect their baggage. 10. They thought the enemy would appear[9] on the next day. 11. Do not expose these secrets of your friend. 12. The citizens held up their hands. 13. They expected to arrive at the villages at sunset.[10] 14. They will arm themselves with shields and breastplates. 15. Milo, the athlete, lifted a bull and bore (it) through the stadium.

NOTES.

[1] *In time of peace, there being peace,* § 183. For **οὔσης,** see § 127, I.
[2] Present participle in the dual-masculine of **εἰμί.**
[3] § 141, N. 3, second paragraph.
[4] Aorist.
[5] **ἐν.**
[6] **ἐπὶ τεττάρων.**
[7] § 277, 1.
[8] § 134, N. 1 *d.*
[9] Their thought was, *the enemy will appear,* etc. Use the infinitive in quoting.
[10] *At the same time with the sun setting.*

XX. Pronouns. (XLII.)

I. 1. οὗτός ἐστιν ὁ σὸς ἀδελφός. 2. ὁ δίκαιος οὐ μόνον τοῖς ἄλλοις ὠφέλιμός ἐστιν, ἀλλὰ πολὺ μάλιστα αὐτὸς αὑτῷ. 3. ταύτην τὴν γνώμην ἔχω ἔγωγε. 4. τί γὰρ πατρῴας ἡμῖν φίλτερον χθονός; 5. καὶ ἡμεῖς τοὺς ὑμετέρους ξένους ξενίζομεν. 6. μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει. 7. νομίζεις μὴ εἶναι θεούς, ἐπεὶ αὐτοὺς οὐχ ὁρῶμεν, ἀλλ' οὐδὲ τὴν σαυτοῦ σύ γε ψυχήν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν. 8. οὔτε διὰ ψύχους μᾶλλόν του ἔνδον μένειν, οὔτε διὰ θάλπους μάχεσθαί τῳ περὶ σκιᾶς, Σωκράτους ἦν ὁ τρόπος. 9. οὐκ ἐννοεῖτε, τίνων καὶ οἵων καὶ ὅσων εὐεργεσιῶν οἱ θεοὶ ἡμῖν αἴτιοί εἰσιν; 10. δεῖ ἡμᾶς εἰς τὸ τῆς πόλεως ὠφέλημα βλέπειν. 11. οὐδὲν οὕτως ἡμέτερόν ἐστιν, ὡς ἡμεῖς ἡμῖν αὐτοῖς.[1] 12. κἀγώ, εἰ ὑμεῖς τὰ δίκαια ποιεῖν ἐθέλετε, ἕπεσθαι ὑμῖν βούλομαι. 13. οἱ ἄνθρωποι αὐτοί εἰσιν ἑαυτοῖς πολέμιοι. 14. μάχονται οἱ ἐλέφαντες σφοδρῶς πρὸς ἀλλήλους. 15. τὰ μέλλοντα προ-

γιγνώσκειν οὐ τῆς ἡμετέρας φύσεώς ἐστιν. 16. ἐγώ σου πλουσιώτερός εἰμι, ἡ ἐμὴ ἄρα κτῆσις τῆς σῆς κρείττων. 17. οὗτος δοκεῖ μοι ἄριστος εἶναι οἶκος, ἐν ᾧ τοιοῦτός ἐστιν ὁ δεσπότης δι' αὐτόν, οἷος ἔξω διὰ τὸν νόμον. 18. διαφέρουσιν οἱ ἐλέφαντες τῇ ἀνδρείᾳ θαυμαστῶς ἀλλήλων. 19. ὅστις διαβολαῖς ταχὺ πείθεται, πονηρὸς αὐτός ἐστι τοὺς τρόπους. 20. τί γὰρ τὸ φιλοκερδές,[2] τί ποτέ ἐστι καὶ τίνες οἱ φιλοκερδεῖς;

II. 1. The lion and the jackal are at war with one another.[3] 2. The general was hostile to us, but friendly to you. 3. The commander called them together into his own tent. 4. He bids us say these same things to you also. 5. These men are your benefactors. 6. These messengers whom you see are friendly to us. 7. Tell me what opinion you have about this. 8. The good trust one another. 9. We love our own children. 10. My son is virtuous,[4] but yours (is) idle. 11. Is there any person in the house? 12. This king was himself the commander of his own army. 13. The bad injure one another. 14. Who is that woman? 15. A philosopher having been asked by some one, What is hostile to men? said, Themselves to themselves.

NOTES.

[1] § 184, 4.
[2] § 139, 2.
[3] § 185.
[4] σπουδαῖος.

XXI. Verbs: Perfect Middle, Perfect Active, and Future Perfect Stems. (XLIV.)

I. 1. ὁ δὲ τἀληθῆ ἀποκέκρυπται. 2. εἰ ταῦτα πέπραχας, οὐδείς σε βλάψει οὐδέποτε.[1] 3. ὁ ποιητὴς λόγον πεποίηται περὶ ἀρετῆς. 4. πρῶτος τῶν στρατηγῶν κεκρίσθω Ἀλέξανδρος. 5. καταγωνισάμενος τὸν ἀδελφὸν ἀπεστάλκει τὸν σατράπην καταστρεψόμενον πάσας τὰς ἐπὶ θαλάττῃ πόλεις. 6. τὴν Νιόβην εἰς λίθον μεταβεβλῆσθαί φασιν. 7. τὸ τοῦ ἀδελφοῦ σῶμα τεθάψεται. 8. Κρέων Ἀντιγόνην τάφῳ ζῶσαν ἐγκέκρυπται. 9. ἀεὶ προστετάξεται τοῖς γεραιτέροις τῶν νεωτέρων ἄρχειν. 10. ταύτην τὴν πόλιν ἀθλιωτάτην κεκρίκαμεν. 11. εἰ τὰς Ἀθήνας κατεστραμμένοι εἰσί, ῥᾳδίως τῶν ἄλλων Ἑλλήνων ἄρξουσιν. 12. ἐπιμελῶς οἱ θεοί, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασιν. 13. ἄνεμος τὰ σκάφη συντέτριφε καὶ τὴν δύναμιν Διονυσίου τὴν ναυτικὴν ἠφάνικεν. 14. οἱ Λακεδαιμόνιοι ἐστεφανωμένοι ἐμάχοντο. 15. ἐὰν ταῦτα πράξῃς, μέγιστος τῆς πόλεως εὐεργέτης ἀναγεγράψῃ. 16. ἄριστος τῶν στρατιωτῶν ἀναγεγράφθω. 17. τοῖς νόμοις, ἐν οἷς τέθραφθε, δεῖ πείθεσθαι. 18. τοὺς τετελευτηκότας μὴ κατηλόγει. 19. ἐψηφισμένοι εἰσὶν οἱ Ἀθηναῖοι πάντας ἡβηδὸν ἀποσφάξαι. 20. δόξα μεγάλη ἐστὶ τοῖς νενικηκόσιν.

II. Death has freed him from his ills. 2. These cities had been utterly destroyed by the tyrant.

3. God has concealed the future[2] from men.[3] 4. The soldiers will have been drawn up in line. 5. They say he has been concealed in the house. 6. His father has disinherited him on account of his wrong-doings. 7. The enemy have been cut to pieces in great numbers. 8. He has plundered our cities. 9. A city has been founded in Phrygia. 10. The Athenians have always been admired. 11. We have always admired Homer. 12. The Athenians had besieged the city. 13. Those that have been educated differ from the uneducated. 14. This property will have been put to great hazard. 15. The soldiers have procured themselves provisions in the following manner.

NOTES.

[1] § 283, 9.
[2] *What is about to be*, **τὸ μέλλον**, § 276, 2.
[3] § 184, 3.

XXII. Verbs: Second Perfect, Second Aorist, First Passive, and Second Passive Stems. (XLVII.)

I. 1. διὰ τὴν ἀσέβειαν ἐκολάσθη· Ζεὺς γὰρ τὴν κτισθεῖσαν ὑπ' αὐτοῦ πόλιν ἠφάνισεν. 2. οἱ δὲ πλούσιοι τῆς εἰς τὸν πόλεμον δαπάνης ἀπαλλαγήσονται. 3. οἱ Κρῆτες παρ' αὐτοῖς τραφῆναι τοῦτον τὸν θεόν φασιν. 4. καὶ σύ, φίλε, πείσθητι· τὸ γὰρ πείθεσθαι ἄμεινον. 5. χθὲς ἀνηγάγοντο οἱ φίλοι,

διὰ δὲ τὸν χειμῶνα πάλιν κατηγάγοντο εἰς τὸν λιμένα. 6. χαλεπόν ἐστι λύπην ἐκφυγεῖν. 7. ὁ ταὼς λέγεται ἐκ βαρβάρων εἰς Ἕλληνας κομισθῆναι. 8. ἐξεπλάγη βασιλεὺς τῇ ἐφόδῳ τοῦ Κύρου στρατεύματος. 9. τῇ τοῦ Θεμιστοκλέους βουλῇ καὶ γνώμῃ πεποιθότες οἱ Ἀθηναῖοι τὴν πόλιν κατελελοίπεσαν καὶ εἰς τὰς ναῦς ἀπεπεφεύγεσαν. 10. οἱ Πέρσαι, ἵνα μὴ αὐτοῖς οἱ ἵπποι ἐν τῷ πολέμῳ καταπλαγῶσι, ψόφοις αὐτοὺς καὶ ἤχοις χαλκοῖς προσεθίζουσιν. 11. αὗται αἱ ἐπιστολαὶ ὑπὸ τοῦ σατράπου ἐγράφησαν. 12. μὴ λέγε ἐκφυγὼν θάνατον, ὅτι καὶ φεύξῃ πάλιν· ὡς γὰρ πέφευγας, προσδόκα καὶ μὴ φυγεῖν. 13. ὃ μέλλεις πράττειν, μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ. 14. ἀλλὰ διετράφησαν τοῖς κτήνεσιν, ἃ εἶχον. 15. ἐπὶ κεφαλὴν εἰς τὸ πέλαγος ἐνέπεσεν Ἴκαρος. 16. οἱ Πέρσαι εἰς φυγὴν ἐτράπησαν. 17. ἐφοβεῖτο μὴ ἐφ' ἁρπαγὴν τράποιτο τὸ στράτευμα. 18. τὴν χιόνα εἴκαζον οἱ ὁδοιπόροι τετηκέναι, καὶ ἐτετήκει διὰ κρήνην τινά, ἣ πλησίον ἦν ἀτμίζουσα ἐν νάπῃ. 19. ἐψηφίσαντο τούτους τοὺς ἄνδρας ἀναγραφήσεσθαι εὐεργέτας τῆς πόλεως εἰς τὸν ἅπαντα χρόνον. 20. ἀπολελοίπασιν ἡμᾶς οὗτοι οἱ στρατηγοί· ἀλλ' οὐκ ἀποπεφεύγασιν.

II. 1. If you should hear[1] a beautiful melody, you would be delighted. 2. The enemy had left their women and their children behind in the villages. 3. Who have fled? 4. He who led the vast army against Troy is famous. 5. The soldiers

left their ranks and fled. 6. The prudent rather than the strong may[2] trust themselves. 7. The barbarians turned and fled to their ships. 8. Tell me by whom you were struck. 9. We shall be worn out[3] by this war. 10. Much[4] has been done, and much will be done. 11. The number of those who have fled to Athens is very great. 12. He was greatly terrified by the tumult. 13. Though we before warred[5] with them, let us now try to be reconciled.[6] 14. Two companies of soldiers are said to have been cut in pieces[6] by the enemy. 15. We should put to sea, if the allies should abandon (us).

NOTES.

[1] § 277, 4.
[2] ἔξεστι.
[3] Second future.
[4] Plural. Use μέν . . . δέ.
[5] § 277, 5.
[6] Aorist.

XXIII. Verbs: Regular in MI. (LII.)

I. 1. τὴν σεαυτοῦ σωφροσύνην τοῖς ἄλλοις παράδειγμα καθίστη. 2. ταύτῃ τῇ γνώμῃ καὶ ἡμεῖς προστιθέμεθα. 3. ὁ παῖς ᾔτει τι τὸν ἄλλον, καὶ ἐπεὶ αὐτῷ οὐκ ἐδίδου, ἔπαιεν. 4. χαλεπόν, μὴ παραδείγμασι χρώμενον, δεικνύναι τὴν ἀρετήν. 5. ἐὰν δέ τις ἀνθιστῆται, πειρασόμεθα χειροῦσθαι. 6. πολὺ διαφέρει, εἰ οἱ ἄρχοντες εὖ ἢ κακῶς διατιθέασι τοὺς ἀρχομένους. 7. ἡδέως ἂν διδοίητε, εἴ τι λαμβάνοιτε. 8. ἐπεὶ τροφὴν οὐκ εἶχον οἱ στρατιῶται, συνίσταντο

ἀλλήλοις καὶ συνετίθεντο, ὡς[1] ἐπὶ λείαν ἐκπορευσόμενοι. 9. πότερον ἀποδίδοσθαι ἢ πρίασθαι βούλεσθε; 10. Κῦρος ἐκέλευε τοὺς ὁπλίτας θέσθαι τὰ ὅπλα περὶ τὴν αὐτοῦ σκηνήν. 11. τὰ περισσὰ ἀποδιδόσθων οἱ στρατιῶται. 12. εὔνοιαν ἕκαστος ἐνδεικνύμενος τῶν λοχαγῶν ἔπειθεν τὸν Ξενοφῶντα ὑποστῆναι τὴν ἀρχήν. 13. ἀναστὰς ἐκέλευσε τὸν κατηγορήσαντα αὐτοῦ λέγειν, ποῦ καὶ ἐπλήγη. 14. κατέκαυσαν τὰς κώμας παντελῶς, ἵνα φόβον ἐνθεῖεν τοῖς βαρβάροις. 15. αἴσχιστόν ἐστιν Ἕλληνι ἀποδόσθαι Ἕλληνας, καίτοι ἀπέδοτο Ἀρίσταρχος τῶν Κυρείων στρατιωτῶν ὑπολελειμμένων οὐκ ἐλάττους τετρακοσίων. 16. ἀεὶ τοὺς βελτίστους εἰς τὰς ἀρχὰς καθιστῶμεν. 17. οἱ πολῖται τὰ ἀναθήματα εἰς τὴν ἀκρόπολιν ἀναφέρουσιν, ἵνα Ἀθηνᾷ ἀνατιθῶσιν αὐτά. 18. δίκην δότωσαν οἱ κακοῦργοι. 19. δεικνύωμεν τοῖς ὁδοιπόροις τὴν ταχίστην ὁδόν. 20. ὁ τῶν φιλαργύρων πλοῦτος ὥσπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν οὐδένα τῶν ζώντων εὐφραίνει.

II. 1. The allies, therefore, revolted from the Athenians. 2. Wealth often changes the disposition of men. 3. O blessed gods, grant me happiness. 4. Show to (but) few what is within[2] your heart. 5. Stand by the unfortunate. 6. Let us inspire in the young the desire of wisdom. 7. It is befitting for the rich to give to the poor. 8. The judges published the decrees. 9. He thereupon bought the horses and gave them to those who were sick.

10. We most admire him who made laws for the Lacedemonians. 11. If you betray your country, you will be worthy of the heaviest[3] penalty. 12. When he had put on[4] his tunic, he mounted[5] his horse. 13. Let us attack the enemy at daybreak. 14. The gods put sweat before virtue. 15. For we feared that those unprincipled (men) might betray the state.

NOTES.

[1] § 277, N. 2.
[2] *The (things) within*, etc.
[3] *Greatest.*
[4] § 277, 1.
[5] In Greek, *mounted upon*, etc.

XXIV. Verbs: Regular in MI (*continued*). (LII).

I. 1. τοὺς κρατῆρας οἴνου καὶ ὕδατος πίμπλησιν.[1] 2. ἀλλ' εὖ τοῦτο ἐπίστω, ὅτι σε τιμωρησόμεθα. 3. Ἡρακλῆς περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ τοῦ λέοντος κατέσχεν ἄγχων, ἕως ἔπνιξεν. 4. παραγγέλθη[2] τὰ πυρὰ κατασβεννύναι πάντα. 5. αἱ ἄρκτοι διὰ τὴν ἰσχὺν καὶ τοῖς ταύροις ἐπιτίθενται. 6. οἱ Ἀθηναῖοι τὸν Πειραιᾶ ἐμπόριον ἐν μέσῳ τῆς Ἑλλάδος κατεστήσαντο. 7. εἰσί τινες, οἳ ληζόμενοι ζῶσι καὶ οὔτ' ἐπίστανται ἐργάζεσθαι οὔτ' ἂν δύναιντο, εἰθισμένοι ἀπὸ πολέμου βιοτεύειν. 8. ἐκλώπευον οἱ ἐγχώριοι τοὺς ἀποσκεδαννυμένους τῶν στρατιωτῶν. 9. ὁμοίως ἐπισφαλές, μαινομένῳ δοῦναι μάχαιραν καὶ πονηρῷ δύναμιν. 10. ἅπαν διδόμενον δῶρον μέγιστόν ἐστι μετ' εὐνοίας διδόμενον. 11. τὸ δίκαιον

μέγα ὀνίνησι τοὺς ἀνθρώπους. 12. *εὖ ἐπίστασθε, ὅτι τοῖς καλοῖς κἀγαθοῖς ἵλεῳ εἰσὶν οἱ θεοί.* 13. *πόνοι μάλιστα τὴν ὕβριν σβεννύασιν.* 14. *τὸ ἐνδῦναι τὰ ὅπλα ἐκάλουν οἱ παλαιοὶ ζώσασθαι.* 15. *τὰς μεταβολὰς τῆς τύχης ἐπίστασαι γενναίως φέρειν.* 16. *συμμιγνύασι κατὰ τὸ πεδίον αἱ φάλαγγες καὶ ἀπόλλυνται πολλοί.* 17. *ὃ μὴ κατέθου, μὴ λάμβανε.* 18. *ὅστις ὀμνύντι μὴ πείθεται, αὐτὸς ἐπιορκεῖν ἐπίσταται.* 19. *ἡ γεωργία πολὺ ἂν ἐπιδοίη εἴ τις ἆθλα προτιθείη τοῖς κάλλιστα τὴν γῆν ἐργαζομένοις.* 20. *οὐκ ἔξεστιν ἀνδρὶ Θηβαίῳ ἐκθεῖναι παιδίον.*

II. 1. The trophy of Miltiades aroused Themistocles from his sleep.[3] 2. It is not easy to change one's[4] nature. 3. The people enacted good laws. 4. The soldiers posted themselves in great haste. 5. Let the sportsmen set snares for the birds. 6. The teacher said, "Give me the book." 7. The gods give us everything. 8. Wine exhibits the (real) natures of men. 9. Let the judges express their opinions. 10. Oligarchies were established in most (of the) cities. 11. The lines immediately separated. 12. We are not able to attack the enemy now. 13. Wine strengthens our bodies. 14. They arose at daybreak that they might attack us. 15. It is disgraceful to betray one's friends, and yet you have betrayed us.

NOTES.

[1] § 172, 2.
[2] *The command was passed along*, § 134, N. 1 *c*.
[3] Plural.
[4] § 141, N. 2.

XXV. Verbs: Second Perfect and Pluperfect of the MI-Form, and Irregular in MI. (LV.)

I. 1. τοὺς Ἕλληνας αὐτόχθονας ἔφη εἶναι. 2. οἱ μὲν ἀπαίδευτοι παῖδες τὰ γράμματα, οἱ δὲ ἀπαίδευτοι ἄνδρες τὰ πράγματα οὐ συνιᾶσιν. 3. ἔγωγε μετὰ φίλου ἑταίρου κἂν διὰ πυρὸς ἰοίην. 4. ἐν καιρῷ ἐπιόντων τοῖς πολεμίοις οἱ ὁπλῖται κατὰ τὰ συγκείμενα. 5. τεθνάναι πολὺ βέλτιον ἢ δι᾽ ἀκρασίαν τὴν ψυχὴν ἀμαυρῶσαι. 6. μετὰ τὴν μάχην ἀφείθη κατὰ πόλεις τὸ ἄλλο στράτευμα. 7. χαλεπὸν ἦν καὶ μένειν καὶ ἀπιέναι, καὶ ἡ νὺξ φοβερὰ ἦν ἐπιοῦσα. 8. εἰ οὖν ὡς εἰς μάχην παρασκευασμένοι ἴοιμεν, ἴσως ἂν τὰ ἱερὰ μᾶλλον προχωροίη ἡμῖν. 9. οὐδὲ πόρρω δοκοῦμέν μοι βασιλέως καθῆσθαι. 10. μὴ παιδὶ μάχαιραν, ἡ παροιμία φησίν· ἐγὼ δὲ φαίην ἄν, μὴ παιδὶ πλοῦτον μηδὲ ἀνδρὶ ἀπαιδεύτῳ δύναμιν. 11. Δημήτηρ ζητοῦσα τὴν θυγατέρα ἁρπασθεῖσαν περιῄει. 12. ἦ οὐκ[1] οἶσθα, ὅτι φιλότιμον εἶναι ὄνειδος λέγεταί τε καὶ ἐστίν; 13. ἐγώ φημι, τὸν θεὸν προειδέναι τὸ μέλλον. 14. ὡς[2] προθυμοτάτοις οὖσιν ἡμῖν χάριν εἴσεται καὶ ἀποδώσει. 15. ἀριστῶντι Διογένει ἐν τῇ ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον· κύον, κύον· ὁ δέ, ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε. 16. οἱ μάντεις λέγονται ἄλλοις μὲν προαγορεύειν τὸ μέλλον, ἑαυτοῖς δὲ μὴ προορᾶν τὸ ἐπιόν. 17. ἴθι δή, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν, πότερον τὰ αὐτά ἐστιν, ἢ διαφέρει τι.

18. ὥσπερ τὰ τόξα, οὕτω καὶ τὰς ψυχὰς χρὴ τότε μὲν ἐντείνειν, τότε δὲ ἀνιέναι. 19. τὸ μηδὲν ἁμαρτάνειν ἔξω τῆς ἀνθρωπίνης φύσεως κεῖται. 20. ἤρετο ὁ δικαστής· ἦ[1] κέκλοφας; ἔφη ὁ ἄνθρωπος. εἶτα ἐπήρετο· ἦ καὶ πεφόνευκας; συνέφη καὶ τοῦτο.

II. 1. Already the evening is coming on. 2. A certain barbarian also is present, wishing to know what will be done. 3. "Who are you?" said the man, when he had heard this. 4. Let us go into the house. 5. This unfortunate man stood for a long time and wept.[3] 6. The majority of these citizens long after virtue. 7. Many men know your evil deeds. 8. Many men aim at wealth. 9. The Nile empties into the sea through seven mouths.[4] 10. Youth and old age are both beautiful.[5] 11. He says that the man is dead. 12. This place lies between Athens and the sea. 13. We shall go,[6] if he sends (us) chariots. 14. Do not say who you were before, but who you are now. 15. He who should know[7] the whole, would know also the part.

NOTES.

[1] § 282, 2.
[2] § 277, N. 2.
[3] *Wept a long time standing.*
[4] § 188, 1.
[5] § 138, N. 2 *a*.
[6] § 200, N. 2.
[7] § 276, 2.

ABBREVIATIONS.

a., aor., aorist.
abs., absol., absolutely.
acc., A., accusative.
act., active, -ly.
ad fin., ad finem, *at the end.*
adj., adjec., adjective, -ly.
adv., adverb, -ial, -ially.
apos., apost., apostrophe.
art., article.
Att., Attic.
augm., augment.
c., comparative.
cf., confer, *compare.*
ch., chiefly.
comm., commonly.
comp., compound, composition.
conj., conjunction.
constr., construction.
cont., contr., contracted.
cop., copulative.
d., dat., D., dative.
dem., demon., demonstrative.
dep., deponent.
dim., diminutive.
disc., discourse.
encl., enclitic.
Eng., English.
etc., et cetera.
fem., feminine.
fr., from.
f., fut., future.
gen., G., genitive.
Gk., Greek.
Hom., Homeric.
i. e., id est, *that is.*
imp., imperf., imperfect.
impers., impersonal.
improp., improper.
indef., indefinite.
indir., indirect.
inf., infinitive.
infer., inferential.
intens., intensive.
interj., interjection.
inter., interrog., interrogative.
intr., intrans., intransitive, -ly.
lit., literally.
masc., masculine.
mid., middle.
neg., negative, -ly.
neut., neuter.
N., note.
obs., obsolete.
p., pass., passive, -ly.
p., pf., perf., perfect.
pers., person, -al.
pl., plur., plural.
poet., poetic.
poss., possessive.
plp., pluperfect.
post-posit., post-positive.
pres., present.
prep., preposition.
priv., privative.
pron., pronoun, pronominal.
prop., properly.
pt., part., participle.
q. v., quod vide, *which see.*
ref., reference.
reflex., reflexive, -ly.
reg., regular, -ly.
rel., relative.
s., sup., superlative.
sc., scilicet, *namely*, *understand.*
sec., second.
sq., seq., sequens, *and the following.*
signif., signification.
sing., singular.
subj., subjunctive.
tr., trans., transitive, -ly.
usu., usually.
Voc., Vocabulary.
voc., vocative.
w., with.

VOCABULARIES.

I. GREEK-ENGLISH VOCABULARY.

In the following Vocabulary the simple stem of each verb, when this does not appear in the present, *i. e.* unless the verb is of the *first class* (§ 108, I.), is given in ( ) directly after the present indicative.

The capital Roman numeral given immediately after the parts of a verb designates the class to which the verb belongs. See § 108. When no such numeral occurs, the verb (except irregular verbs in **μι**) belongs to class I. Verbs in **μι** are marked **1** and **2**. Those marked **2** are a subdivision of V. of the general classification. See § 108, V. 4. All other regular verbs in **μι** are marked **1**. See notes 2 and 6, Lesson LVI. Compound verbs are not classified, nor are their principal parts given, if the simple verb occurs elsewhere in the Vocabulary. For fuller information concerning irregular verbs, see the Appendix to the Grammar. For futures in **ιῶ, ιοῦμαι,** see § 110, II. 2, N. 1 *c*. Deponents that are regular have the aorist middle unless it is otherwise stated. The case required by the verb is often designated by the letters A., D., or G., immediately added to the definition of its meaning.

The gender of nouns of the first declension is not given because obvious. Nouns whose genitive is not given are of the second declension, except neuters in **ος**, which are of the third and are inflected like **γένος**, § 52, 2.

The parts of compound words are separated by hyphens. The single dagger prefixed to a word pointing down (†) or up (‡), or the double dagger pointing in both directions (‡), points to some related word or words containing the common stem or root. When this device is not possible, the related word that shows best the stem or root follows in parenthesis.

The quantity of **α**, **ι**, and **υ**, when naturally *long*, is consistently marked throughout, except where such natural quantity is already indicated by the circumflex accent, as in **ἄθλος**. These vowels, when not marked, are to be pronounced *short*.

Words are to be sought for under their *themes*, though difficult forms, especially of verbs, will often be found in the alphabetical list. The old-style numerals refer to the Lessons. English words in small capitals are cognate with the Greek words, those in black letter are borrowed from them.

α-, *α-* priv. or cop., § 131, 4, w. N. 2. UN-.

ἅ, ἅ-περ, see **ὅς, ὅσ-περ.**

ἄ-βατος, *ον* (*βαίνω*), *impassable, not fordable.*

ἀγάγω, etc., see **ἄγω.**

ἀγαθός, *ή, όν,* § 73, 1, *good, brave, virtuous; ἀγαθόν, τό, a good thing, good, advantage, benefit,* pl. *possessions.* 14.

ἄγαμαι, *ἠγάσθην,* **1,** *to admire.* 49.

ἄγαν, *very, much, too.*

ἀγαπάω, *ἀγαπήσω,* etc., to show by *outward* signs that one regards, *to love, be contented.*

ἀγγέλλω (*ἀγγελ-*), *ἀγγελῶ, ἤγγειλα, ἤγγελκα, ἤγγελμαι, ἠγγέλθην,* IV., *to bring a message, announce,* A. D. 41.

†ἄγγελος, *ὁ, ἡ, a messenger.* 6. Angel.

ἀγείρω (*ἀγερ-*), *ἤγειρα, ἠγέρθην,* IV., *to bring together, collect.*

ἀγέλη, ης (ἀγω), *a herd.*

ἀ-γήρως, ων (γῆρας), *free from old age, undying.*

Ἀ-γησί-λᾱος, ὁ, *Agesilāus.*

ἀγκύριον, τό (dim. in form of ἀγκῦρα, *an anchor*), *an* **anchor.**

ἀγορά, ᾶς (ἀγείρω), *an assembly, place of assembly, market-place, market; ἀγορὰ πλήθουσα, the time of full market, forenoon.* 32.

†ἀγοράζω (ἀγοραδ-), ἀγοράσω, etc., IV., *to buy.*

†ἀγοραῖος, ον, *belonging to the ἀγορά.*

†ἀγορεύω, ἀγορεύσω, etc., *to harangue, speak of.*

ἄγρᾱ, ᾶς, *booty, prey.*

†ἄγριος, ᾱ, ον, *living in the fields, wild.* 12.

†ἀγριότης, ητος, ἡ, *wildness.*

ἀγρός, ὁ, *a field.* ACRE.

ἀγρυπνέω, ἀγρυπνήσω (ἀγρυπνος, *sleepless*), *to be sleepless.*

ἄγχω, ἄγξω, -ἤγξα, *to strangle.*

ἄγω, ἄξω, ἤξα (rare), -ἦχα, ἦγμαι, ἤχθην, 2 a. ἤγαγον, *to lead, conduct, bring, carry, draw, weigh; ἡσυχίαν ἄγω, to keep quiet; ἄγε* (or *ἄγετε*) *δή, come now!* 10.

†ἀγών, ῶνος, ὁ, *an assembly;* hence, *a contest, games.* 53. **Agony.**

†ἀγωνίζομαι (ἀγωνιδ-), ἀγωνιοῦμαι, etc., IV., *to contend.* **Agonize.**

